Desiderat enim etiam legem perficere Ecclesia: Umbra enim Unigeniti est lex, & hanc desiderat quævis piorum anima, ipsius delectata præceptis, quæ peccata probibent: Non mœchaberis, non occides, non furtum facies, non falsum testimonium dices, honora patrem tuum, & matrem, *& cetera mandata. In his umbris, quæ peccata vetant, animæ justorum concupiscunt. Propterea dicit Ecclesia*: IN UMBRA EJUS CONCUPIVI, ET CONSEDI. Umbram enim habet lex futurorum bonorum, *juxta divinissimum Apostolum. Idcirco statim dicit*:

Hebr. x. 1.

XXXIX. ET FRUCTUS EJUS DULCIS IN FAUCIBUS MEIS.

Qui enim sub legis umbra consident, manifestum est eos

(2) Vide supra Notam ad Vers. xx'. xxviii.

καὶ τοῦ εὐαγγελικοῦ καρποῦ τὴν σωτηριώδη εὐωχίαν μεταλαμβάνουσι. εἶτα λοιπὸν περὶ τοῦ νόμου εἰποῦσα, εἴς τι τὴν τελείωσιν, ἥνπερ ἔλαβεν ἐκ τοῦ νόμου, εἰσελθεῖν θέλουσα λέγει τοῖς ἀποστόλοις·

Κεφ. β'. δ'. μ'. ΕΙΣΑΓΕΤΕ ΜΕ ΕΙΣ ΟΙΚΟΝ ΤΟΥ ΟΙΝΟΥ (1).

Εἰς τὸ τοῦ κυρίου σῶμα. συγκεράσατέ με (2) φησὶ αὐτῷ διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας.

Κεφ. β'. δ'. μα'. ΤΑΞΑΤΕ ΕΠ ΕΜΕ ΑΓΑΠΗΝ.

Δότε μοι τὴν ἀγάπην τὴν τοῦ ἐπουρανίου (3) πατρὸς,
Ἰωαν. γ'. ις'. ἣν ὁ μονογενὴς λέγει· οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Κεφ. β'. ε'. μβ'. ΣΤΗΡΙΣΑΤΕ (4) ΜΕ ΜΥΡΟΙΣ.

Ἐν πᾶσι τοῖς θείοις τοῦ Χριστοῦ λογίοις.

Κεφ. β'. ε'. μγ'. ΣΤΟΙΒΑΣΑΤΕ ΜΕ ΕΝ ΜΗΛΟΙΣ.

Θάψατέ με ἐν τῷ ἀριθμῷ τῶν δικαίων.

Κεφ. β'. ε'. μδ'. ΟΤΙ ΤΕΤΡΩΜΕΝΗ ΑΓΑΠΗΣ ΕΓΩ.

Διὰ τῶν ἁγίων μαρτύρων· δι' ὧν, ἀγαπήσασα (5) τὸν Χριστὸν ἐτρώθην, τὸν ὑπὲρ αὐτοῦ δεξαμένη θάνατον.

με'. ΕΥΩ-

(1) Vet. Interpr. *in domum vineæ*. Fortasse sequutus est lect. Symmachi εἰς τὸν οἰνῶνα *in cellam vinariam*, eamque idem Interpr. putavit appellari posse *domum vineæ*.

(2) Vet. Interpres quid intelligat nescio, qui vertit: *coaptate me ei per lavacrum &c.* Salutatus bene vertit, *commiscete me*.

(3) Vet. Interpr. *caritatem Unigeniti Filii*: minus bene. Sane de

eos etiam salutaris convivii, in quo Evangelici fructus apponuntur, esse participes. Deinde de lege loquens, & ad eam perfectionem venire volens, quam accepit a lege, dicit Apostolis:

XL. INTRODUCITE ME IN DOMUM VINI.

In Domini scilicet *corpus: commiscete me cum ipso per lavacrum regenerationis.*

XLI. ORDINATE IN ME CARITATEM.

Date mihi dilectionem Patris cælestis, de qua Unigenitus loquitur: Sic Deus dilexit mundum, ut Filium suum Unigenitum daret; ut omnis qui credit in illum non pereat, sed habeat vitam æternam. *Joan. III. 16.*

XLII. CONFIRMATE ME IN UNGUENTIS.

In omnibus Christi divinis eloquiis.

XLIII. STIPATE ME IN MALIS.

Sepelite me in numero justorum.

XLIV. QUIA VULNERATA SUM CARITATE.

Per sanctos scilicet *martyres; per quos, cum Christum diligerem, vulnerata sum, morte pro eo suscepta.*

Patris caritate in mundum loquitur Apostolus.

(4) Salutatus vertit: *Servate me*: qui propterea legisse videtur τηρήσατε.

(5) Barbar. & meus ἠγαπήσας male. Theat. ἠγάπησα. Scribendum ut edidi.

(6) h. e. *per latus Martyrum sauciata sum*.

Κεφ. β΄. ϛ΄. μέ. ΕΥΩΝΥΜΟΣ ΑΥΤΟΥ ΥΠΟ ΤΗΝ ΚΕΦΑΛΗΝ ΜΟΥ· ΚΑΙ Η ΔΕΞΙΑ ΑΥΤΟΥ ΠΕΡΙΛΗΨΕΤΑΙ ΜΕ.

Εὐώνυμος μὲν παρόντα βίον ἀπεικάζει, ὡς οἶμαι· δεξιὰ δὲ τὸν μέλλοντα, τὸν αἰώνιον βίον (1) τῆς εὐσεβείας.
Παροίμ. γ΄. ιϛ΄. μῆκος γὰρ βίου, φησὶ, καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς· ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. ἐνθάδε γὰρ ἀνυστέρητα τὰ ἀγαθὰ ἡ ἐπουράνιος παρέχει σοφία τῇ ἐκκλησίᾳ, κατὰ τὸν λέ-
Ψαλ. πδ΄. ια΄. γοντα προφήτην· κύριος οὐχ ὑστερήσει τὰ ἀγαθὰ τοὺς πορευομένους ἐν ἀκακίᾳ. καὶ ἐν τῷ (2) μέλλοντι αἰῶνι μῆκος βίου, τοὺς μακροὺς αἰῶνας· καὶ τὰ εὐφραντήρια τῶν ἁγίων ἐπαγγελμάτων ἐν τῇ δεξιᾷ αὐτῆς ἡ σοφία ἔχουσα, παρέχει, ἐν οἷς κατὰ
Ματθ. κε΄. λδ΄. τὸ εὐαγγέλιον τῇ ἰδίᾳ νύμφῃ ἐκ δεξιῶν λέγει· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου. οὕτως ΚΑΙ Η ΔΕΞΙΑ ΑΥΤΟΥ ΠΕΡΙΛΗΨΕΤΑΙ ΜΕ· ὅταν μὲ στήσῃ ἐκ δεξιῶν αὐτοῦ προβάτων δίκην ὁ καλὸς ποιμὴν εἰς τὰς τοῦ παραδείσου νομὰς αὐλίζων.

Κεφ. β΄. ζ΄. μϛ΄. ΩΡΚΙΣΑ ΗΜΑΣ ΘΥΓΑΤΕΡΕΣ ΙΕΡΟΥΣΑΛΗΜ ΕΝ ΤΑΙΣ ΔΥΝΑΜΕΣΙ ΚΑΙ ΕΝ ΤΑΙΣ (3) ΙΣΧΥΣΕΣΙ ΤΟΥ ΑΓΡΟΥ· ΕΑΝ ΕΓΕΙΡΗΤΕ ΚΑΙ ΕΞΕΓΕΙΡΗΤΕ ΤΗΝ ΑΓΑΠΗΝ ΕΩΣ ΟΥ ΘΕΛΗΣΗι.

Θυγατέρες ἱερουσαλὴμ τὰς ψυχὰς τῶν ἁγίων λέγει προφητῶν τε καὶ ἀποστόλων. ἐκείνας ΕΝ ΤΑΙΣ ΔΥΝΑΜΕΣΙ ΚΑΙ ΕΝ ΤΑΙΣ ΙΣΧΥΣΕΣΙ ΤΟΥ ΑΓΡΟΥ ὁρκίζει ἐν τοῖς θεοσημείοις,
Ματθ. ιγ΄. λη΄. οἷς ἐποίησεν ἐν τῷ κόσμῳ ἡ τοῦ μονογενοῦς δύναμις. ἀγρὸς γὰρ ὁ κόσμος, ὥς φησιν ὁ κύριος· ἵνα ἐξεγείρωσι τὸν πόθον τοῦ νυμφίου πρὸς αὐτήν·

(1) Vallic. αἰῶνα.

(2) Perturbatus videtur hic locus. Legendum putarem: καὶ ἐν τῷ μέλλοντι αἰῶνι, μῆκος βίου, τοὺς μακροὺς αἰῶνας ἐν τῇ δεξιᾷ αὐτῆς ἡ σοφία ἔχουσα, τὰ εὐ-

XLV. LÆVA EJUS SUB CAPITE MEO; ET DEXTERA ILLIUS AMPLEXABITUR ME.

Læva quidem præsentem vitam, ut arbitror, exprimit; dextera vero futuram, & perpetuam sanctorum vitam: Longitudo enim dierum, *ait scriptura*, & anni vitæ in dextera ejus; in læva vero ejus divitiæ, & gloria. Prov III. 16. *Ibi enim cælestis sapientia indeficientia bona tribuit Ecclesiæ, juxta Prophetam dicentem*: Dominus non privabit bonis eos, qui ambulant in innocentia. Psal. LXXXIII. 13. *Et in futuro seculo, sapientia longitudinem vitæ, & longa secula dexterâ suâ tenens, sanctarum promissionum gaudia præbet iis verbis, quæ juxta Evangelium sponsæ suæ a dextris dicit*: Venite benedicti Patris mei; percipite regnum, quod paratum est vobis a constitutione mundi. Matth. XXV. 34. *Ita* DEXTERA ILLIUS AMPLEXABITUR ME; *cum a dextris suis quasi ovem me constituet bonus Pastor, qui in Paradisi pascuis commoratur.*

XLVI. ADJURAVI VOS FILIÆ HIERUSALEM IN VIRTUTIBUS, ET VIRIBUS AGRI, UT SUSCITETIS ET VIGILARE FACIATIS CARITATEM, DONEC VELIT.

Filias Hierusalem vocat animas sanctorum Prophetarum, & Apostolorum. Illas adjurat PER VIRTUTES, ET VIRES AGRI; (*nimirum per divina miracula, quæ in mundo Unigeniti virtus edidit*: Ager enim est mundus, *ut ait Dominus*;) Matth. XIII. 38. *ut excitent desiderium sponsi erga ipsam; modo*

 pro

φeαντίεια τῶν ἁγίων ἐπαγγελμάτων παρέχει, ἐν οἷς κ.τ.λ. Hanc lectionem in versione sequutus sum.

(3) Ita Cod. Alexandrinus habet hunc articulum ταῖς, qui abest a Vatic. edit.

την· ὅτι μὲν πρεσβείας εἰσφέρουσιν ὑπὲρ αὐτῆς· ὅτι δὲ καὶ τὰ ἀρεστὰ αὐτῷ πρὸς αὐτὴν διαπιθέμενοι. διὸ σαφῶς ἐπιλέγει· ἕως οὗ θελήσῃ.

Κεφ. β'. η'.

μζ'. ΦΩΝΗ ΤΟΥ (1) ΑΔΕΛΦΙΔΟΥ ΜΟΥ.

Ἵνα, ἀφ' ἧς φωνὴ αὐτοῦ θέλη· τουτέστιν, ἀφ' ἧς προστάττει, ταῦτα μαθοῦσα, τῆς ἀγάπης αὐτοῦ ἐπιτύχῃ (2)· καθὼς καὶ αὐτὸς ἐν εὐαγγελίοις λέγει· ὁ ἀγαπῶν με τὰς ἐντολάς μου φυλάξει.

Ἰωαν. ιδ'. κε'.

Κεφ. β'. η'.

μη'. ΙΔΟΥ ΟΥΤΟΣ ΗΚΕΙ ΠΗΔΩΝ ΕΠΙ ΤΑ ΟΡΗ, ΔΙΑΛΛΟΜΕΝΟΣ ΕΠΙ ΤΟΥΣ ΒΟΥΝΟΥΣ.

Πηδᾷ γὰρ ἐπὶ τὰ ὄρη, τουτέστιν ἐπὶ τοὺς προφήτας· καὶ πάλιν ἐκεῖθεν ἅλλεται ἐπὶ τοὺς βουνοὺς, ὅπερ ἐστὶν ἐπὶ τοὺς ἀποστόλους. κατὰ γενεὰν γὰρ καὶ γενεὰν ἡ σοφία εἰς ψυχὰς ὁσίας ἀναβαίνουσα φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει. ὅτι γὰρ ὄρεσιν ἀπεικάζονται οἱ προφῆται, καὶ βουνοῖς οἱ ἀπόστολοι, σαφῶς ἐν Ἡσαΐᾳ κεῖται ἡ προφητεία· ἔσται γάρ, φησιν, ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, ὅπερ ἐστὶν ἐπὶ τὰ μέλη (3) τῶν προφητῶν, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν· ὅπερ ἐστὶν, ὑπεράνω τῶν ἀποστόλων. Καὶ εἰκότως· καθάπερ γὰρ ἀνατέλλων ὁ ἥλιος πρῶτον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων καὶ βουνῶν τὰς φωτεινὰς ἐκτείνει στροφάλιγγας· οὕτω καὶ ὁ Χριστὸς, ὁ τῆς δικαιοσύνης ἥλιος ἀρξάμενος τὸ τῆς αὐτοῦ θεότητος φῶς ἡπλωσεν εἰς ὅλον τὸν κόσμον· πρῶτον καθάπερ ἐπὶ ὄρεσι καὶ βουνοῖς ἐν προφήταις, καὶ ἀποστόλοις κατηύγασε τὸ φῶς, δι' ὧν ἐκ τῆς οἰκουμένης τὸ σκότος ἀπήλασε τῆς ἀγνωσίας.

Ἡσαΐ. β'. β'.

μθ'. ΟΜΟΙΟΣ

(1) Edit. Vat. non habet τοῦ.
(2) Sic emendavi. Meus Codex & Barb. & Vallic. habent ἐπιτύχω.
(3) Vallic. τὰ τέλη, corrupte

pro ea preces adhibendo; modo, quæ ipsi placita sunt, in ea disponendo: propterea aperte subdit; donec velit.

XLVII. VOX FRATUELIS MEI.

Ut, quæ vox ejus voluerit, hoc est quæ jusserit, de iis certior facta, caritatem ejus consequatur: Quemadmodum, & ipse in Evangeliis: Qui diligit me, *inquit*, mandata mea servabit. *Joan. XIV. 15*

XLVIII. ECCE IPSE VENIT SALIENS SUPER MONTES, TRANSILIENS COLLES.

SALIT *enim super montes, hoc est super Prophetas: & rursus inde* TRANSILIT *super colles, idest Apostolos: per generationem, & generationem sapientia super animas sanctas ascendens amicos Dei efficit & Prophetas. Quod vero montibus assimilentur Prophetæ, & Apostoli collibus, aperte habetur apud Isaiam prophetia:* Erit enim, *inquit*, in ultimis diebus manifestus mons Domini paratus super vertices montium, *idest in Canticis Prophetarum*, & exaltabitur supra colles, *hoc est super Apostolos. Et merito: quemadmodum enim sol oriens primum in montium, & collium vertices lucidum extendit gyrum; ita Christus Sol justitiæ voluit, ut divinitatis suæ lumen toto coruscaret mundo. Primum veluti super montes & colles in Prophetis, & Apostolis lumen illuxit, per quos ex omni terrarum orbe ignorantiæ dispulit tenebras.* *Isai. II. 2.*

XLIX. SI-

pro τέλη. Eam lectionem habuit Vet. Interpres, qui vertit *circa finem Prophetarum*. Barb. & meus μέλη, quam lectionem Salutatus agnoscit; ait enim *in Canticis Prophetarum*.

Κεφ. β΄. θ΄. μθ΄. ΟΜΟΙΟΣ ΕΣΤΙΝ Ο ΑΔΕΛΦΙΔΟΣ ΜΟΥ ΤΗι ΔΟΡΚΑΔΙ Η ΝΕΒΡΩι ΤΩΝ ΕΛΑΦΩΝ ΕΠΙ ΤΑ ΟΡΗ ΒΑΙΘΗΛ.

ΔΟΡΚΑΣ ὀξυδερκές ἐστι ζῶον. διὸ καὶ φερωνύμως κέκληται δορκάς. καὶ ΝΕΒΡΟΣ ΕΛΑΦΩΝ. ἀναιρετικὸς γάρ ἐστι τῶν ἰοβόλων θηρίων. ΟΡΗ δὲ ΒΑΙΘΗΛ τὰ ἐξοχώτατα τῶν δικαίων τάγματα ἐστίν· ἐπειδήπερ ΒΑΙΘΗΛ οἶκος Θεοῦ ἑρμηνεύεται· οἶκοι δὲ Θεοῦ δῆλον ὅτι οἱ δίκαιοι διὰ τὸ εἰπόν-
β΄. Κορ. ς΄. ις΄. τα· ἐνοικήσω ἐν ὑμῖν καὶ ἐμπεριπατήσω. καὶ πάλιν ὁ ἀπόστολος·
Ἑβραι. γ΄. ς΄. Θεοῦ οἶκος ἐσμὲν ἡμεῖς. ὁ οὖν ΑΔΕΛΦΙΔΟΣ αὐτῆς, ὁ ταύτης νυμφίος Χριστὸς ὁμοιοῦται μὲν δόρκωνι διὰ τὸ ὀξυδερκῶς κατοπτεύειν ἐπὶ τὰς τῶν ἀνθρώπων καρδίας, καθὼς λέγει·
Ἱερ. ιζ΄. ι΄. ἐγὼ κύριος ἐτάζων νεφροὺς καὶ δοκιμάζων καρδίας· εἴ τι (1)
Ἱερ. κγ΄. κδ΄. ποιήσει ἄνθρωπος ἐν κρυφαίοις, κἀγὼ οὐκ (2) ἐπόψομαι αὐτόν; διὸ ἀπεικάζει αὐτὸν ἡ νύμφη τῷ δόρκωνι, ἢ τῷ νεβρῷ τῶν ἐλάφων. ἐπειδὴ γὰρ εἰσπεμπόμενα τῆς κακίας ἐνθυμήματα ὑπὸ τοῦ πονηροῦ ταῖς τῶν δικαίων διανοίαις, ταῦτα ἐλάφου δίκην ἀναιρούμενος ὁ οὐράνιος λόγος, τέμνει διὰ τοῦ ὀξυτάτου ξίφους, ὅπερ ἔδωκεν αὐτοῖς, τοῦ τῆς εὐσεβείας λογισμοῦ. καλῶς οὖν ἀπεικάζεται ΝΕΒΡΩι ΕΛΑΦΩΝ ΕΠΙ ΤΑ ΟΡΗ ΒΑΙΘΗΛ· τουτέστιν ἐπὶ τὰ ἐξοχώτατα τῶν δικαίων τάγματα.

Κεφ. β΄. θ΄. ν΄. ΙΔΟΥ ΑΥΤΟΣ (3) ΟΠΙΣΩ (4) ΤΟΥ ΤΟΙΧΟΥ ΗΜΩΝ, ΠΑΡΑΚΥΠΤΩΝ ΔΙΑ ΤΩΝ ΘΥΡΙΔΩΝ.

Ἐφεσ. β΄. ιδ΄. ΤΟΙΧΟΝ, ὃν τὴν (5) νύμφην λέγει· τὸν νόμον φησί, καθάπερ καὶ Παῦλος ὁ ἀπόστολος λέγει· καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας· τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ τὸν νόμον τῶν ἐντο-

(1) Melius ἤ τις.

(2) In Vallic. deest οὐκ & nota interrogationis. Memoriter, adeoque minus accurate citat locum Hieremiae, cujus verba sunt, εἰ κρυβήσεταί τις ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν;

(3) Edit. Vat. ἕστηκεν.

XLIX. SIMILIS EST FRATRUELIS MEUS CAPREÆ, VEL HINNULO CERVORUM SUPER MONTES BÆTHEL.

CAPREA *acute cernens est animal: idcirco veritatem sui nominis ferens dorcas appellatur:* & HINNULUS CERVORUM: *veneficas enim bestias interficit.* MONTES *autem* BÆTHEL *summos justorum significant ordines; quandoquidem* BÆTHEL *domus Dei interpretatur: domos enim Dei manifestum
est esse justos: ait enim scriptura;* Inhabitabo in vobis, & *II. Cor. VI. 16.*
inambulabo: *Et rursus Apostolus:* Dei domus sumus *Hebr. III. 6.*
nos. *Ejus igitur* FRATRUELIS, *ejusdemque sponsus Christus assimilatur quidem capreæ, quod acutum in corda ho-
minum cernat, quemadmodum ait:* Ego Dominus scru- *Jerem. XVII. 10.*
tans renes, & probans corda. Ecquid homo fecerit in *Ibid. XXIII. 24.*
occulto, & ego non videro? *Ipsum propterea sponsa capreæ assimilat, vel hinnulo cervorum; immissas enim iniquas cogitationes in animos justorum a diabolo, instar cervi cæleste Verbum extractas acutissimo concidit gladio, quem illis tradidit; nimirum cogitatione pietatis. Concinne igitur assimilatur* HINNULO CERVORUM IN MONTIBUS BÆTHEL, *hoc est super summos justorum ordines.*

L. ECCE IPSE POST PARIETEM NOSTRUM, PROSPICIENS PER FENESTRAS.

PARIETEM *puto sponsam appellare Legem, quemadmo-
dum Paulus ait:* Solvens medium maceriæ parietem: ini- *Ephes. II. 14.*
micitiam in carne sua, legem mandatorum decretis evacuans.

(4) Alex. C. & Ed. Compl. ἕστηκεν ὀπίσω, quam lectionem habuisse videtur Vet. Interpr., qui vertit: *ecce hic stetit post parietem.*

(5) Locus corruptus. Legendum τεῖχον οἶμαι τὴν νύμφην λέγειν τὸν νόμον· καθάπερ ὁ Παῦλος κ. τ. λ.

ἐντολῶν ἐν δόγμασι καταργήσας. ΠΑΡΑΚΥΠΤΩΝ γὰρ ὀπίσω τοῦ νόμου ἦλθεν, καὶ ΔΙΑ ΤΩΝ ΘΥΡΙΔΩΝ, ὅπερ ἐστὶ διὰ τῶν προφητῶν. Πρῶτον γὰρ ἐν νόμῳ διὰ Μωϋσέως ἐκηρύχθη. ἔπειτα ΔΙΑ ΤΩΝ ΘΥΡΙΔΩΝ, ὡς εἰπεῖν, διὰ τῶν προφητῶν παρέκυψεν. ἀλλὰ καὶ ἐκκύπτων διὰ τῶν δικτύων.

Κεφ. β΄. θ΄.

να΄. ΠΑΡΑΚΥΠΤΩΝ ΔΙΑ ΤΩΝ ΘΥΡΙΔΩΝ, ΚΑΙ ΕΚΚΥΠΤΩΝ ΔΙΑ ΤΩΝ ΔΙΚΤΥΩΝ.

Θαυμάσιος ὁ (1) τῆς ἀκολουθίας, καὶ μάλιστα ταύτης, ῥυθμός. πρῶτον ΟΠΙΣΩ ΤΟΥ ΤΟΙΧΟΥ· ἔπειτα ἀπὸ τοῦ τοίχου ΔΙΑ ΤΩΝ ΘΥΡΙΔΩΝ· εἶτα ΔΙΑ ΤΩΝ ΔΙΚΤΥΩΝ. καὶ τὰ μὲν περὶ τοῦ τοίχου ὅτι περὶ τοῦ νόμου λέγει, σαφῶς ἀποδέδεικται· ὅτι δὲ καὶ παρακύπτει διὰ τῶν θυρίδων, ὅπερ ἐστὶ διὰ τῶν προφητῶν, λέλεκται· ὥσπερ γὰρ εἴ τις παρακύπτει καὶ πάλιν ἑαυτὸν ὑφέλκει· οὕτω διὰ τῶν προφητικῶν δογμάτων παρέκυπτε διὰ τοῦ Ἡσαΐου προφητευόμενος, διὰ τοῦ Ἱερεμίου κηρυττόμενος, διὰ τοῦ Δανιὴλ ἀποκαλυπτόμενος· ὥσπερ διὰ θυρίδων τῶν προφητῶν· ἐπὶ τῶν δικτύων δέ, οὐκέτι λέγει ΠΑΡΑΚΥΠΤΩΝ ἀλλ' ΕΚΚΥΠΤΩΝ. ὁ γὰρ παρακύπτων (2) ποτὲ μὲν ἑαυτὸν ἀποδεικνύει (3), ὅτε δὲ ὑποχωρεῖ. ὁ δὲ ἐκκύπτων, ὅλον ἑαυτὸν ἐπιδίδωσι. ὥσπερ οὖν διὰ δικτύων, διὰ τῶν ἁγίων ἀποστόλων ὅλον ἑαυτὸν ἐνεφάνισε. καὶ γὰρ δι' αὐτῆς τῆς ὀνομασίας τῶν ἁλιευτικῶν ὀργάνων τὴν τῶν ἀποστόλων προφητεύει κλῆσιν, οἷς εἶπεν αὐτός· δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· οἱ δὲ ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ· ἡ τοίνυν ἀκολουθία τὸ λεχθὲν σαφὲς (4) ἀποδείξει· λέγει γάρ·

Μαρκ. α΄. ιζ΄. ιη΄.

νβ΄. ΑΠΟ-

(1) Barb. & meus διὰ τῆς.

(2) Ὁ γὰρ παρακύπτων absunt a meo Cod., & Vallic., quæ revocavi a Cod. Barber. Ad hunc locum probe intelligendum constituenda est propria significatio verbi παρακύπτω. Aristoph. Εἰρήνη v. 981. Καὶ γὰρ ἐκεῖναι παρακλίνασαι τῆς αὐλείας παρακύπτουσι, Κἄν τις προσέχῃ τὸν νοῦν αὐταῖς, Ἀναχωροῦσι· Κᾆτ' ἢν ἀπίῃ, πα-

cuans. PROSPICIENS *enim venit post Legem, & per* FENESTRAS, *idest per Prophetas. Primum enim in Lege per Moysem prædicatus est: deinde per* FENERTRAS, *ut ita dicam, per Prophetas prospexit. Sed & prominens prospicit per retia.*

LI. PROSPICIENS PER FENESTRAS, ET PROMINENS PROSPICIT PER RETIA.*

Admirabilis est ordinis, hujus præsertim, concinnitas: primum POST PARIETEM: *deinde de pariete* PER FENESTRAS; *postremo* PER RETIA: *& quoad parietem attinet, satis declaratum est, per illum intelligi Legem. Quod autem prospicit per fenestras, dictum est id esse de Prophetis. Quemadmodum enim si quis prospiciat per fenestras se rursus subducit; sic per prophetica dogmata prospexit, cum per Isaiam prænunciatus est, per Hieremiam prædicatus, revelatus per Danielem; tamquam per fenestras Prophetarum. Cum vero sermo est* DE RETIBUS, *non jam dicit* PROSPICIENS, *sed* PROMINENS *inspicit. Qui enim prospicit e fenestra modo se in conspectum dat, modo se subducit. Qui vero prominens prospicit, se ipsum totum ostendit. Tamquam igitur per retia se totum manifestavit per sanctos Apostolos. Etenim hoc ipso quod piscatoria nominat instrumenta, vocationem prædicit Apostolorum, quibus ipse dicit:* Venite post me, faciam vos piscatores hominum: illi autem dimissis retibus sequuti sunt eum. *Quæ igitur sequuntur manifeste quod diximus declarabunt; ait enim:* Marc. i. 17. 18.

ἐγκύπτουσι. *Scholiast.* παρεκλίνασαι. διανοίξασαι. *Nam illæ semiadapertis foribus prospectant*, vel *reclusis paullulum foribus vix prospectant*. Est enim διακύπτειν *e fenestra strictim adspicere*, quæ est Cicer. loquutio L. I. de Orat. c. 35.

(3) Vallic. ceteri Codd. ἐπιδεκνύς.

(4) Sic Mss. omnes. Legendum tamen σαφῶς.

Κεφ. β'. ι'.

ιβ'. ΑΠΟΚΡΙΝΕΤΑΙ ΑΔΕΛΦΙΔΟΣ ΜΟΥ, ΚΑΙ ΛΕΓΕΙ ΜΟΙ· ΑΝΑΣΤΑ, ΕΛΘΕ Η ΠΛΗΣΙΟΝ ΜΟΥ, ΚΑΛΗ ΜΟΥ, ΠΕΡΙΣΤΕΡΑ ΜΟΥ.

Δι' αὐτῶν γὰρ τούτων τῶν ἁγίων ἀποστόλων καλέσας αὐτὴν, ἀνίστησιν ἀπὸ τοῦ πτώματος τῶν ἁμαρτημάτων, λέγων· ΑΝΑΣΤΑ, ΕΛΘΕ ΚΑΛΗ· ἅμα καὶ ΠΕΡΙΣΤΕΡΑΝ καλῶν διά τε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος, καὶ δι', ἣν κελεύει ἔχειν αὐτὴν, ἀκεραιότητα.

Κεφ. β'. ια'.

ιγ' ΟΤΙ ΙΔΟΥ Ο ΧΕΙΜΩΝ ΠΑΡΗΛΘΕΝ.

ΧΕΙΜΩΝΑ οὖν τὸ σωτήριον πάθος καλεῖ, ἐν ᾧ χειμασθέντες οἱ Ἰουδαῖοι χαλεπὴν ὑπέστησαν ἀπώλειαν· ἤτοι, ἣν ἀπήλασεν ἀπ' αὐτῆς, εἰδωλολατρείαν. καθ' ἑκάτερα δὲ Ο ΧΕΙΜΩΝ ΠΑΡΗΛΘΕΝ· οὔτε γὰρ ἔτι (1) θάνατον ἐκδέχεται (2), ἅπαξ ὑπὲρ ἡμῶν παθὼν ὁ κύριος· ὡς καὶ ἅγιος ἀπόστολος εἶπε· θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύσει (3)· ὃ γὰρ ἀπέθανεν, ἀπέθανεν ἐφ' ἅπαξ τῇ ἁμαρτίᾳ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. ὅτι δὲ (4) οὕτως χειμὼν τὸ πάθος, βλέπε χειμαζόμενον τὸν πέτρον διὰ τὸν φόβον τῶν Ἰουδαίων· ἀλλὰ παρῆλθεν οὗτος. μετὰ γὰρ τὴν ἀνάστασιν εὔδια γέγονεν ἐν τῇ πληροφορίᾳ τῆς πίστεως τῆς τοῦ μονογενοῦς θεότητος· καὶ φησίν·

Ῥωμ. ϛ'. θ'. ι'.

Κεφ. β'. ια'.

ιδ'. Ο ΥΕΤΟΣ ΠΑΡΗΛΘΕΝ (5), ΕΠΟΡΕΥΘΗ ΕΑΥΤΩι.

Τοὺς πειρασμοὺς βροχαῖς παρεικάζει ὁ κύριος λέγων περὶ

(1) Ita Vallic. Ceteri οὔτ' ἐπὶ.

(2) Proprie θάνατον οὐκ ἐκδέχεται *mortem non expectat*. Vetus Interpres habet, *nec mortem pro nobis suscepit*. Legendum *suscipit*, quod in impressa Typis editione emendatum oportuit; & illa ἅπαξ ὑπὲρ ἡμῶν non conjungenda cum θάνατον ἐκδέχεται, sed cum παθὼν. Ea versio errorem continet absurdissimum, *Christum nimirum pro nobis mortem non suscepisse*.

(3) Sacer Textus habet κυριεύει.

LII. RESPONDET FRATRUELIS MEUS, ET DICIT MIHI: SURGE, VENI PROXIMA MEA, PULCHRA MEA, COLUMBA MEA.

Nam per hos ipsos sanctos Apostolos vocatam a peccatorum lapsu eam erigit dicens, SURGE, VENI PULCHRA: *&* COLUMBAM *simul eam vocat propter donum Spiritus Sancti, & propter eam, quam illi præcipit, simplicitatem.*

LIII. QUONIAM ECCE HIEMS TRANSIIT.

HIEMEM *igitur vocat salutarem passionem, cum tempestatem passi Judæi in gravissimum inciderunt exitium: vel etiam hiemem vocat idolorum cultum, quem ab ea removit. In utroque sensu* HIEMS TRANSIIT. *Neque amplius mortem expectat, qui semel pro nobis passus est Dominus: quemadmodum Apostolus ait:* Mors illi non ultra dominabitur: quod enim mortuus est, mortuus est semel peccato; quod autem vivit, vivit Deo. *Quod autem hiems revera intelligenda sit passio; vide Petrum tempestate jactatum propter metum Judæorum. Sed illa hiems præteriit: nam post resurrectionem facta est tranquillitas per plenam certamque fidem Divinitatis Unigeniti: & ait:* Rom. VI. 9. 10.

LIV. PLUVIA ABIIT, ET RECESSIT SIBI.

Tentationes pluviis assimilat Dominus cum loquitur de iis,

Sed vulgatus Interpres legit κυριεύσει.

(4) Δὲ est ex Cod. Vallic. Abest a meo & Barb.

(5) Sic Barb. & Vallic. Vaticana editio habet ἀπῆλθεν. Et ἀπῆλθεν mallem. Sic enim habet Philo in fine explanationis hujus versus.

Ματθ. ζ'. κε'. ρὶ τῶν τεθεμελιωμένων ἐν τῇ πέτρᾳ δικαίων. κατέβη ἡ βροχή, ἦλθον οἱ ποταμοί, ἔπνευσαν οἱ ἄνεμοι, προσέκρουσαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσεν· ἐπεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. ἵνα οὖν εἴπῃ· οἱ πειρασμοὶ (1) οἱ τοῦ πάθους παρῆλθον· Ο ΧΕΙΜΩΝ, φησι, ΠΑΡΗΛΘΕΝ, Ο ΥΙΕΤΟΣ ΑΠΗΛΘΕΝ ΕΑΥΤΩι.

Κεφ. β'. ιβ'. νε'. ΤΑ ΑΝΘΗ ΩΦΘΗ ΕΝ ΤΗι ΓΗι ΗΜΩΝ (2).

Ὅπερ ἐστὶν ἡ τῆς τῶν ἁγίων ἀποστόλων πίστεως εὐωδία.

Κεφ. β'. ιβ'. νς'. ΚΑΙΡΟΣ ΤΗΣ ΤΟΜΗΣ ΕΦΘΑΚΕΝ.

Τοῦ τέμνεσθαι (3) τὰ κλήματα καὶ καθαίρεσθαι ἀπὸ τῶν ἁμαρτημάτων· ἅτινά ἐστι τέκνα τὰ εἰς ἐμὲ πιστεύοντα. ἀλλὰ καὶ καθ' ἕτερον τρόπον· ΚΑΙΡΟΣ ΤΗΣ ΤΟΜΗΣ ΕΦΘΑΚΕ τοῦ νοητοῦ λέγω (4) θερισμοῦ, τοῦ (5) θερίζειν τὰ ἔθνη σίτου δίκην ἀπὸ τῶν γηΐνων ἐπιθυμημάτων, καὶ συγκομίζειν εἰς τὰς ἀποθήκας τῆς οὐρανίου βασιλείας.

Κεφ. β'. ιβ'. νζ'. ΦΩΝΗ ΤΡΥΓΟΝΟΣ (6) ΗΚΟΥΣΘΗ ΕΝ ΤΗι ΓΗι ΗΜΩΝ.

Τὴν φωνὴν ταύτην οἶμαι τοῦ ἁγίου Παύλου· ΤΡΥΓΟΝΙ γὰρ αὐτὸν παρεικάζει διὰ τὴν ἀγριότητα, ἣν πάλαι μὲν κατὰ τῶν ἐκκλησιῶν ἐποιεῖτο· διωγμοῖς καὶ φυλακαῖς τοὺς εἰς τὸν κύριον πιστεύοντας ἐλαύνων. ἀλλ' ἡ φωνὴ γέγονεν (7) ΕΝ ΤΗι ΓΗι ΗΜΩΝ· ὅπερ ἐστὶν ἐν τῇ ἐκκλησίᾳ. γέγραπται γὰρ· γῆ θελητὴ (8) ὑμεῖς ἐστε· ἐπελάβετο γὰρ τοῦ κηρύγματος τῆς πίστεως.

(1) Vetus Interpres: *ut ergo diceret, transierunt passiones, temptationes, ait*. Scribendum, *passionis tentationes*.

(2) Vatic. ed. non habet ἡμῶν.

(3) Vet. Interpr. *Ut quasi palmites incidantur & mundentur &c.* Existimasse videtur subaudiendum esse ἕνεκα. Repetenda est ex textu vox καιρὸς, unde pendet τοῦ τέμνεσθαι.

(4) Inserui λέγω, quod est ex Vallicell.

(5) Barb. τὸ. Vallic. τῷ. Legendum τοῦ.

iis, qui fundati sunt supra petram justorum. Descendit pluvia, venerunt flumina, flaverunt venti, & irruerunt in domum illam, & non corruit: fundata enim erat supra petram. *Ut ergo diceret: tentationes passionis praterierunt, ait*: HIEMS TRANSIIT, PLUVIA RECESSIT SIBI. Matth. VII. 25.

LV. FLORES VISI SUNT IN TERRA NOSTRA.

Idest bonus odor fidei sanctorum Apostolorum.

LVI. TEMPUS SECTIONIS ADVENIT.

TEMPUS *scilicet putandi palmites, eosque a peccatis purgandi, scilicet filios, qui credunt in me. Sed & alio modo*: TEMPUS SECTIONIS ADVENIT *spiritualis scilicet messis; metendi nimirum instar frumenti Gentes a terrenis cupiditatibus, easque condendi in horreis regni cælestis.*

LVII. VOX TURTURIS AUDITA EST IN TERRA NOSTRA.

Hanc vocem existimo esse D. Pauli. TURTURI *enim illam assimilat propter feritatem, quam olim contra Ecclesias exercebat, persequutionibus & carceribus Christi fideles exagitans. Verum vox ejus clamavit in terra, hoc est in Ecclesia: scriptum est enim*: Terra accepta estis vos: *apprehendit enim praedicationem fidei, ut in eo illud implea-*

(6) Vat. edit. τοῦ ζυγίνου.

(7) Legendum videtur γέγωνεν.

(8) Meus Cod. & Vallicell. & Barb. sic habent ἡ θελητὴ ὑμεῖς ἐστέ· ἀπελαύετε γάρ. Mutinensis ἡ θελητὴ ὑμεῖς ἐστε· ἐπελάβετο γὰρ τοῦ κηρύγματος τῆς πίστεως. Vox γέγραπται ostendit locum hic esse aliquem e S. Scriptura depromtum. Cum autem apud Malachiam legatur Cap. III. 12. διότι ἔσεσθε ὑμεῖς γῆ θελητὴ, λέγει κύριος, propterea emendanda hæc, ut edidi.

Ψαλ. πδ'. γ'. στως· ἵνα τὸ γεγραμμένον εἰς αὐτὸν πληρωθῇ· ὅτι στρούθιον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς, τουτέστι τὰ δι' αὐτοῦ πιστεύοντα εἰς Χριστὸν ἔθνη.

Κεφ. β'. ιγ'. νη'. Η ΣΥΚΗ ΕΞΗΝΕΓΚΕΝ ΟΛΥΝΘΟΥΣ ΑΥΤΗΣ.

Τὴν συναγωγὴν τῶν Ἰουδαίων (1) λέγει τοὺς ἁγίους ἐξενηνοχυῖαν ἀποστόλους, οἵτινες ΟΛΥΝΘΩΝ δίκην τοὺς τοῦ κυρίου γλυκεροὺς (2) προβάλλονται (3) λόγους· περὶ ὧν καὶ Ἱερεμίας ὁ θαυμάσιος προφήτης· σύκα φησὶ τὰ χρηστὰ, χρηστὰ λίαν. πρόδρομοι δὲ σύκων οἱ ΟΛΥΝΘΟΙ, οὓς ἀποστόλους εἰρήκαμεν. ἔπειτα σύκα, οἱ μετ' αὐτοὺς ἐν ταῖς ἁγίαις ἐκκλησίαις διδάσκαλοι, τὴν ἡδυτάτην προβαλλόμενοι γλυκύτητα.

Ἱερεμ. κδ'. γ'.

Κεφ. β'. ιγ'. νθ'. ΑΙ ΑΜΠΕΛΟΙ ΗΜΩΝ (4) ΚΥΠΡΙΖΟΥΣΙΝ (5), ΕΔΩΚΑΝ ΟΣΜΗΝ.

Ἀκολούθως οὖν λοιπὸν ΑΜΠΕΛΟΙΣ τὰς ἐκκλησίας ἀπεικάζει, τὰς διὰ τῆς διδασκαλίας τὴν τῆς πίστεως προβαλλομένας εὐωδίαν. κυπρισμοῦ δὲ τῆς πίστεως ὀσμήν (6).

Κεφ. β'. ιγ'. ξ'. ΑΝΑΣΤΑ, ΕΛΘΕ Η ΠΛΗΣΙΟΝ ΜΟΥ.

ΠΛΗΣΙΟΝ αὐτῷ (7) τὴν νύμφην καλεῖ διὰ τὸ αὐτὸν κατεληλυθέναι ἐκ τῶν οὐρανῶν, καὶ πεπληρωκέναι αὐτὴν τῇ τῆς πίστεως συναφείᾳ.

Κεφ. β'. ιγ'. ξα'. ΚΑΛΗ ΜΟΥ, ΠΕΡΙΣΤΕΡΑ ΜΟΥ.

ΚΑΛΗ διὰ τὴν μετάνοιαν· ΠΕΡΙΣΤΕΡΑ διὰ τὴν ἀκεραιότητα.

ξβ'. ΚΑΙ

(1) Vet. Interpres reddit, tantum sententiam Græci textus.

(2) Γλυκερὸς λόγους. Vet. Interpr. *diversa eloquia*. Videtur Codicem habuisse corruptum.

(3) Sic emendavi. Meus & Barb. προβάλλοντο.

(4) Vox ἡμῶν in nulla edit. apparet, nec eam agnoscit Vetus Interpres.

pleatur: Passer invenit sibi domum, & turtur ubi ponat pullos suos, *hoc est Gentes, quæ per hunc* (Paulum) *credunt in Christum*. Psal. LXXXIII. 4.

LVIII. FICUS PRODUXIT GROSSOS SUOS.

Judæorum dicit Synagogam, quæ SS. Apostolos extulit, qui GROSSORUM *instar dulcia Domini eloquia proferunt. De quibus & divinus Vates Hieremias*: Ficus optimas, optimas nimis. *Ficorum enim præcursores sunt* GROSSI, *quos esse Apostolos diximus. Deinde ficos, qui post eos in sanctis Ecclesiis Doctores, suavissimam dulcedinem proferunt.* Hierem. XXIV. 3

LIX. VITES NOSTRÆ FLORENT, DEDERUNT ODOREM.

Consequenter itaque deinceps VITIBUS *Ecclesias, quæ per doctrinam bonum fidei proferunt odorem, ipsi vero germinationi odorem fidei assimilat.*

LX. SURGE, VENI PROXIMA MEA.

Sibi PROXIMAM *vocat sponsam, propterea quod ipse de Cælis descendit, eamque per fidei conjunctionem implevit.*

LXI. PULCHRA MEA, COLUMBA MEA.

PULCHRA *propter pœnitentiam*, COLUMBA *propter simplicitatem.*

LXII. ET

(5) Vet. Interpr. legisse videtur *κυπρείζουσαι*, quæ est lectio edit. Complut.

(6) Vet. Interpr. quædam addit, quæ non habent Gr. Codd.

(7) Mutavi *αὐτὴν* in *αὐτῆς*.

Κεφ. β'. ιγ'. ξϛ'. ΚΑΙ ΕΛΘΕ ΣΥ ΠΕΡΙΣΤΕΡΑ ΜΟΥ, ΔΙ ΟΥ (1) ΕΝ ΣΚΕΠΗ, ΤΗΣ ΠΕΤΡΑΣ.

ΣΚΕΠΗ δὲ καὶ ΠΕΤΡΑ οὗτος αὐτῆς ὁ νυμφίος. πέτρα μὲν, ἐπειδὴ ἐπ' αὐτὸ ἤρεισεν τῆς πίστεως τὸ θεμέλιον· σκέπη δὲ, ἐπειδὴ σκέπων αὐτὴν ἀπὸ παντὸς ῥύεται πειρασμοῦ.

Κεφ. β'. ιδ'. ξγ'. ΕΧΟΜΕΝΑ ΤΟΥ ΠΡΟΤΕΙΧΙΣΜΑΤΟΣ.

ΠΡΟΤΕΙΧΙΣΜΑ τὸν νόμον λέγει· τείχη γάρ ἐστι τὰ
Ἡσαΐ. κϛ'. α'. εὐαγγέλια κατὰ τὴν Ἡσαΐου φωνήν· θήσει τεῖχος καὶ περίτειχος. τεῖχος δὲ ὁ περίτειχος (2) ἤτοι ἡ δύναμις φυλάττουσα τοὺς ὁσίους διὰ τῶν θείων λογίων· ἵνα μὴ ἐκ τοῦ πονηροῦ θηρὸς ἐπιβουλεύωνται. ΕΧΟΜΕΝΑ οὖν καλεῖ αὐτὴν ΤΟΥ ΠΡΟΤΕΙΧΙΣΜΑΤΟΣ, τουτέστι (3) τῇ τοῦ νόμου κατηχή-
Ἔξοδ. κ. ιγ'. σεως λεγούσης· οὐ μοιχεύσεις καὶ τὰ ἑξῆς· εἶτα ἀποκρίνεται αὐτῇ καὶ λέγει·

Κεφ. β'. ιδ'. ξδ'. ΔΕΙΞΟΝ ΜΟΙ ΤΗΝ ΟΨΙΝ ΣΟΥ, ΚΑΙ ΑΚΟΥΤΙΣΟΝ ΜΟΙ ΤΗΝ ΦΩΝΗΝ ΣΟΥ.

Ὅπερ ἐστὶ, μὴ μόνον (4) διὰ νόμου ἢ προφητῶν μοι λάλει, ἀλλ' ὅλον σαυτὸν ἐπίδειξόν μοι. ὡς καὶ Μωϋσῆς τοιούτῳ πόθῳ
Ἔξοδ. λγ'. ιγ'. ληφθεὶς τῷ κυρίῳ παρρησιάζεται λέγων· δεῖξόν μοι (5) σαυτὸν ἐμφανῶς, ἵνα σε ἴδω. ἀλλὰ τότε λέγει τῷ Μωϋσεῖ· οὐδεὶς (6)
Ἔξοδ. λγ'. κ'. ἰδὼν μου τὸ πρόσωπον ζήσεται. Ταύτῃ δὲ βουλόμενος ἐπιδεῖξαι ἑαυτὸν νεφέλης δίκην ἠμφιάσατο τὸ σῶμα, καὶ ἑαυτὸν ἔκρυψεν αὐτῷ, ἵνα τῇ ἰδίᾳ νύμφῃ δείξῃ ἑαυτὸν διὰ τὸν τρόπον τῆς ἀρετῆς, διὰ τῆς ὑπομονῆς καὶ τῆς ἀκακίας, τὸν

τύπον

(1) Δι' οὗ ab impreſſis omnibus Codicibus bene hæ duo voculæ abſunt. Eas non agnoſcit Vetus Interpr., & delendas exiſtimo.

(2) Τεῖχος ἢ καὶ περίτειχος revocavi e Codd. Barb. & Vallic.

(3) Τουτέστι reſtitui ex Barb. & Vallicell.

(4) Vetus Interpr. non habuit in ſuo Cod. vocem μόνον. Vertit

LXII. ET VENI TU COLUMBA MEA IN VELAMENTO PETRÆ.

Ipse sponsus est ejus VELAMEN *&* PETRA. *Et petra quidem, quia super se ipsum statuit fidei fundamentum. Velamen vero, propterea quod eam protegens ab omni liberat tentatione.*

LXIII. JUXTA PROMURALE.

PROMURALE *Legem vocat. Muri enim sunt Evangelia juxta Isaiæ dictum*: Ponet murum, & circummurale: *Murus vero, & circummurale significat duplicem vim defendendi Sanctos per divina eloquia, ne a mala bestia petantur insidiis. Ait igitur illam esse* JUXTA PROMURALE *scilicet disciplinae Legis, quæ jubet*: Non mœchaberis, *& cetera. Deinde ipsa respondet, & ait*: *Isai. XXVI. 1.*

LXIV. OSTENDE MIHI FACIEM TUAM, ET AUDITAM MIHI FAC VOCEM TUAM.

Idest non solum per Legem, & Prophetas loquere mihi, sed totum mihi te ostende; quemadmodum Moyses ejusmodi captus desiderio, libere cum Domino loquebatur dicens: Ostende mihi te ipsum, ut manifeste te videam. *Exod. XXXIII. 13.*
Verum tunc dixit Moysi: Nullus qui faciem meam viderit, vivet. *Id. XXXIII. 20.*
Sed cum sponsæ suæ vellet se conspicuum dare, veluti nubem induit corpus, & sub eo se abscondit, ut se ipse suæ sponsæ demonstraret per actus virtutis, per patien-

K tiam,

enim: *Hoc est per Legem & Prophetas non mihi loquaris*. Atqui non repudiat sponsa, ut secum sponsus loquatur per ora prophetarum, sed ait: *Non solum per Legem, sed totum te mihi ostende.*

(5) Edit. Vat. habet ἐμφάνισόν μοι σεαυτὸν γνωστῶς ἵνα ἴδω σε.

(6) Edit. Vat. οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται.

τύπον αὐτῇ παραδιδοὺς τοῦ τῆς εὐσεβείας πολιτεύματος. διὸ ἐπακούει αὐτὴ (1) λέγουσα· ΔΕΙΞΟΝ ΜΟΙ ΤΗΝ ΟΨΙΝ ΣΟΥ, ΚΑΙ ΑΚΟΥΤΙΣΟΝ ΜΟΙ ΤΗΝ ΦΩΝΗΝ ΣΟΥ. ἔδειξεν οὖν αὐτῇ τὴν ὄψιν αὐτοῦ, κυηθεὶς διὰ τῆς Θεοτόκου (2) Μαρίας· καὶ τῆς φωνῆς αὐτοῦ ἠκούτισεν αὐτὴν, διδάσκων ἐν τῷ ὄρει τοῦ ἐλαιῶνος, καὶ τὰ εὐαγγελικὰ διατάγματα (3) αὐτοῦ εἰς πᾶσαν τὴν οἰκουμένην διὰ τῶν ἀποστόλων αὐτῇ πέμψας.

Κεφ. β΄. ιδ΄. ξε΄. ΟΤΙ Η ΦΩΝΗ ΣΟΥ ΗΔΕΙΑ, ΚΑΙ Η ΟΨΙΣ ΣΟΥ ΩΡΑΙΑ.

Ματθ. ια΄. κη΄. Ὄντως Η ΦΩΝΗ αὐτοῦ ΗΔΕΙΑ, δεῦτε, λέγουσα, πρός
με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω
Ματθ. θ΄. κθ΄. ὑμᾶς. ΦΩΝΗ ΣΟΥ ΗΔΕΙΑ τοῖς τυφλοῖς λέγουσα· κατὰ τὴν
πίστιν ὑμῶν, γενηθήτω, ὑμῖν. ΦΩΝΗ ΣΟΥ ΗΔΕΙΑ λέγου-
Μαρκ. β΄. κα΄. σα πρὸς τὸν παραλυτικόν· ἔγειραι, ἆρον τὸν κράββατόν σου,
καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. Η ΦΩΝΗ ΣΟΥ ΗΔΕΙΑ·
Ματθ. θ΄. β΄. θάρσει, λέγουσα, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. Η ΦΩ-
Μαρκ. ε΄. λδ΄. ΝΗ ΣΟΥ ΗΔΕΙΑ λέγουσα· θύγατερ ἡ πίστις σου σέσωκέ σε·
πορεύου (4) εἰς εἰρήνην. Η ΦΩΝΗ ΗΔΕΙΑ τῷ λεπρῷ λέ-
Μαρκ. α΄. μα΄. γουσα· θέλω, καθαρίσθητι, καὶ εὐθέως (5) ἐκαθαρίσθη ἡ λέ-
Μαρκ. δ΄. λθ΄. πρα. Η ΦΩΝΗ ΣΟΥ ΗΔΕΙΑ ἐπιτιμῶσα τῷ ἀνέμῳ
καὶ τῇ θαλάσσῃ, καὶ ποιοῦσα γαλήνην. Η ΦΩΝΗ ΣΟΥ Η-
Ἰωαν. ια΄. μγ΄. ΔΕΙΑ τὸν λάζαρον ἐκ νεκρῶν καλοῦσα· λάζαρε δεῦρο ἔξω.
Ματθ. κη΄. ιθ΄. Η ΦΩΝΗ ΣΟΥ ΗΔΕΙΑ· ὑπάγετε, μαθητεύσατε πάντα
τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ
τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν,
Ματθ. κε΄. λδ΄. καὶ τὰ ἑξῆς. Η ΦΩΝΗ ΣΟΥ ΗΔΕΙΑ λέγουσα· δεῦτε
οἱ εὐλογημένοι τοῦ πατρός μου. Η ΦΩΝΗ ΣΟΥ ΗΔΕΙΑ
πάντας ἐν πᾶσι σώζουσα. ΚΑΙ Η ΟΨΙΣ ΣΟΥ (6) Ω-
ΡΑΙΑ,

(1) Sic emendandum: Meus & Barb. habent αὐτῇ.

(2) De B. Virgine notanda hæc vox: & digna quæ legantur ea, quæ ad h. l. adnotavit doctus Editor Veteris Interpretationis.

tiam, & innocentiam, formam illi tradens pie vivendi. Propterea illa auscultat dicens: OSTENDE MIHI FACIEM TUAM, ET AUDITAM MIHI FAC VOCEM TUAM. *Ostendit igitur illi faciem suam, cum in utero Deiparæ Virginis gestatus est; & auditam illi fecit vocem suam, cum docebat in monte Oliveti, & Evangelica præcepta sua in omnem terrarum orbem illi per Apostolos misit.*

LXV. QUONIAM VOX TUA SUAVIS ET FACIES TUA SPECIOSA.

SUAVIS *revera* vox *ejus est, quæ dicit*: Venite ad *Matth. XI. 28.*
me omnes, qui laboratis, & onerati estis, & ego reficiam vos. VOX TUA SUAVIS, *quæ cæcis dixit*: Secundum *Matth. IX. 29.*
fidem vestram fiat vobis. VOX TUA SUAVIS, *quæ dixit paralytico*: Surge, & tolle grabatum tuum, & vade in *Marc. II. 11.*
domum tuam. VOX TUA SUAVIS *dicens*: Confide fili; *Matth. IX 2.*
remittuntur tibi peccata tua. VOX TUA SUAVIS, *quæ dicit*: Filia fides tua te salvam fecit, vade in pace. Vox *Marc. V. 34.*
TUA SUAVIS *leproso dicens*: Volo, mundare, *& statim* *Marc. I. 41.*
lepra mundata est. VOX TUA SUAVIS, *quæ increpavit ventum*, *Marc. IV. 39.*
& mare, & fecit tranquillitatem. VOX TUA SUAVIS *vocans a mortuis Lazarum*: Lazare veni foras. VOX *Joann. XI. 43.*
TUA SUAVIS: Ite docete omnes Gentes, baptizantes eos *Matth. XXVIII. 19.*
in nomine Patris & Filii & Spiritus Sancti, docentes eos servare, *& cætera*. VOX TUA SUAVIS *dicens*: Venite bene- *Matth. XXV. 34.*
dicti Patris mei. VOX TUA SUAVIS, *quæ omnia in omnibus salvat*. ET FACIES TUA SPECIOSA, *tum cum* formam servi ac-

(3) Vallic. διηγήματα.

(4) Sacer Codex habet ὕπαγε.

(5) Sacer textus habet εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ ἐκαθαρίσθη.

(6) Voculam σου revocavi ex Cod. Vallic.

Φιλιπ. β'. ζ'. ΡΑΙΑ, καὶ ὅτι μορφὴν δούλου ἔλαβες, ἵνα ἡμᾶς ἐλευθερώσῃς
Ματθ. ιζ. β'. ἐκ τῆς δουλείας τῆς ἁμαρτίας· καὶ ὅτι μετεμορφώθης (1) ἐν τῷ ὄρει. ἵνα τῆς ἰδίας θειότητος τὴν δόξαν ἐπιλάμψῃς.

Κεφ. β'. ιε'. ξϛ'. ΠΙΑΣΑΤΕ ΗΜΙΝ ΑΛΩΠΕΚΑΣ ΜΙΚΡΟΥΣ ΑΦΑΝΙΖΟΝΤΑΣ ΑΜΠΕΛΩΝΑΣ.

ΠΙΑΣΑΤΕ, φησὶ, τοὺς αἱρετικοὺς, οἵτινες ΑΛΩΠΕΚΩΝ δίκην νυκτὸς ὑποδύοντες τοὺς ΜΙΚΡΟΥΣ ΑΦΑΝΙΖΟΥΣΙΝ ΑΜΠΕΛΩΝΑΣ· ὅπερ ἐστὶ, τοὺς ὑδαροπίστους (2), μήποτε μεγεθυνθέντες ἐν τῇ τελείᾳ. ἀμπέλου τὰ κλήματα καταβλάψωσιν· ἀλλ' ἔτι μικροὺς ὄντας κατὰ τὴν πίστιν καὶ ἀστηρίκτους. Τούτους γὰρ ἀφανίζουσιν οἱ αἱρεσιῶται, παρακλίνειν αὐτοὺς ποιοῦντες ἀπὸ τοῦ θεμελίου τῆς πίστεως· διὰ τοῦτο πιάζεσθαι αὐτοὺς κελεύει, καὶ ἀπελαύνεσθαι ἔξω τῶν (3) ἀμπελώνων. διὸ ἐπιλέγει.

Κεφ. β'. ιε'. ξζ'. ΚΑΙ ΑΙ (4) ΑΜΠΕΛΟΙ ΗΜΩΝ ΚΥΠΡΙΖΟΥΣΙΝ (5).

Ὅπερ ἐστὶν, οἱ λαοὶ τῇ ἡμῶν πίστει εὐωδιάζουσιν.

Κεφ. β'. ιϛ'. ξη'. ΑΔΕΛΦΟΣ ΜΟΥ ΕΜΟΙ, ΚΑΓΩ ΑΥΤΩ.

Αὐτὸς ΕΜΟΙ σοφίαν. ΚΑΓΩ ΑΥΤΩ καρδίαν. αὐτός μοι σοφίαν ἐξ οὐρανῶν, ΚΑΓΩ ΑΥΤΩ ἐξ ἐθνῶν.

Κεφ. β'. ιϛ'. ξθ'. Ο ΠΟΙΜΑΙΝΩΝ ΕΝ ΤΟΙΣ ΚΡΙΝΟΙΣ.

Ὅπερ ἐστὶν τοῖς εὐσεβέσι τῆς δικαιοσύνης λόγοις.

ο'. ΕΩΣ

(1) Meus μεταμορφώθη. Male. Lege ex Barb. μετεμορφώθης.

(2) Sic meus & Barber. Libentius legerem ὑδατοπίστους. Totum locum hunc ita interpungendum puto, & legendum: ὅπερ ἐστὶ,

accepisti, *ut nos e peccatorum servitute liberares*; *tum quando transfiguratus es in monte ut jucundissimæ divinitatis resplendere faceres gloriam*. Philipp. II. 7. Matth. XVII. 2.

LXVI. CAPITE NOBIS VULPES, PUSILLAS EXTERMINANTES VINEAS.

Corripite, inquit, hæreticos, qui noctu VULPIUM *modo subrepentes*, PUSILLAS *exterminant* VINEAS; *idest eos labefactant, qui sunt fluxa fide, nec dum perfecte adoleverunt, nec vineæ facti sunt palmites, sed adhuc pusilli sunt in fide & infirmi. Hos enim exterminant hæretici, ac faciunt, ut illi a fidei declinent fundamento. Idcirco hos comprehendi jubet, & vineis expelli. Propterea subdit*:

LXVII. ET VINEÆ NOSTRÆ FLORENT.

Idest, populi nostri bonum fidei spargunt odorem.

LXVIII. FRATRVELIS MEUS MIHI, ET EGO ILLI:

Ille mihi sapientiam, & ego illi cor. Ille mihi sapientiam de cælo, & ego illi ex Gentibus.

LXIX. QUI PASCIT INTER LILIA.

Idest in piis justitiæ Sermonibus.

LXX. DO-

ὑδατοπότους, μήπω μεγεθυνθέντας ἐν τῇ τελείᾳ, καὶ ἀμπέλου κλήματα, καταβλάψουσιν· ἀλλ᾽ ἔτι μικροὺς ὄντας κ. τ. λ.

(3) Sic Vallic. At Barb. & meus τοῦ ἀμπελῶνος.

(4) αἱ abest a Vallic. & Barb.

(5) Sic Vallic. & Barb. & Cod. Alexandrinus. Editio Vatic. κυπρίζουσαι.

Κεφ. β΄. ιζ΄. ο΄. ΕΩΣ ΟΥ ΔΙΑΠΝΕΥΣΗι Η ΗΜΕΡΑ, ΚΑΙ ΚΙΝΗΘΩΣΙΝ ΑΙ ΣΚΙΑΙ.

Τουτέστιν ἡ τῆς κρίσεως, ἐν ᾗ ὁ καλὸς ποιμὴν λέγει· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, καὶ τὰ ἑξῆς: (Ματθ. κε΄. λδ΄.) ΕΩΣ ΟΥ Η ΗΜΕΡΑ ΔΙΑΠΝΕΥΣΕΙ, ΚΑΙ ΚΙΝΗΘΩΣΙΝ ΑΙ ΣΚΙΑΙ. ὅταν γὰρ ἐκείνη Η ΗΜΕΡΑ ΔΙΑΠΝΕΥΣΕΙ τῆς κρίσεως, τότε κινηθήσονται αἱ σκιαὶ, τουτέστιν αἱ τοῦ αἰῶνος τούτου πραγματεῖαι καὶ φροντίδες, τὰς ἀδίκους ἀποβάλλουσι (1) πράξεις.

Κεφ. β΄. ιζ΄. οα΄. ΑΠΟΣΤΡΕΨΟΝ (2), ΟΜΟΙΩΘΗΤΙ ΣΥ ΑΔΕΛΦΙΔΕ ΜΟΥ ΤΩι ΔΟΡΚΩΝΙ Η ΝΕΒΡΩι ΕΛΑΦΩΝ ΕΠΙ ΤΑ ΟΡΗ ΚΟΙΛΩΜΑΤΩΝ.

ΑΠΟΣΤΡΕΨΟΝ ἐμοὶ λέγει ἀπὸ τῆς Ἰουδαίων συναγωγῆς ἐπὶ τὰ ἔθνη, ἐπειδήπερ ἐκεῖνοι οὐ παραδέχονται τὸ κήρυγμα τῆς σωτηρίου διδασκαλίας. ΑΠΟΣΤΡΕΨΟΝ ἐπὶ τὰ ἔθνη, ὁμοιούμενος ΤΩι ΔΟΡΚΩΝΙ, Η ΝΕΒΡΩι τῶν ΕΛΑΦΩΝ τῇ ὀξύτητι καὶ τῷ τῆς πίστεως δρόμῳ ἐπὶ πάντα τὰ πέρατα τῆς οἰκουμένης διατρέχων ἐν ὡραίοις ποσὶ τῶν ἀποστόλων, περὶ ὧν ὁ κύριος εἴρηκεν ἐν τῇ γραφῇ· (Ῥωμ. ι΄. ιε΄.) ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. ΕΠΙ ΤΑ ΟΡΗ ΚΟΙΛΩΜΑΤΩΝ, αἱ τῶν δικαίων εἰσὶ ψυχαί· ὄρη μὲν διὰ τὸ ὑπερέχειν τῇ τῆς δικαιοσύνης ἀρετῇ· κοιλώματα δὲ διὰ τὸ κοιλωμάτων δίκην δέχεσθαι καὶ κατέχειν τὸ τῆς πίστεως κήρυγμα.

Κεφ. γ΄. α΄. οβ΄. ΕΠΙ ΚΟΙΤΗΝ ΜΟΥ ΕΝ ΝΥΞΙΝ, ΕΖΗΤΗΣΑ ΟΝ ΗΓΑΠΗΣΕΝ Η ΨΥΧΗ ΜΟΥ· ΕΖΗΤΗΣΑ ΑΥΤΟΝ, ΚΑΙ ΟΥΧ ΕΥΡΟΝ ΑΥΤΟΝ· ΕΚΑΛΕΣΑ ΑΥΤΟΝ, ΚΑΙ ΟΥΧ ΥΠΗΚΟΥΣΕ ΜΟΥ.

Ὅταν γὰρ ταῖς ἁμαρτίαις βεβαρυμένοι καθεύδομεν ἐν ΝΥ-

(1) Legendum puto ἐπιβάλλουσαι.

LXX. DONEC ADSPIRET DIES, ET MOVEANTUR UMBRÆ.

Hoc est dies judicii, cum Pastor bonus dicet: Venite benedicti Patris mei; percipite paratum regnum a constitutione mundi *&c.* DONEC ADSPIRET DIES, ET MOVEANTUR UMBRÆ. *Cum enim* ADSPIRAVERIT *illa* DIES *judicii, tum* MOVEBUNTUR UMBRÆ, *hoc est seculi hujus occupationes, & sollicitudines, quæ injustas actiones ingerunt.* Matth. xxv. 34.

LXXI. REVERTERE, SIMILIS ESTO TU FRATRUELIS MEUS DAMULÆ, HINNULOQUE CERVORUM AD MONTES CONVALLIUM.

REVERTERE *mihi, ait, a Judæorum Synagoga ad Gentes. Illi enim Salutaris doctrinæ prædicationem non suscipiunt.* REVERTERE *ad Gentes* SIMILIS *factus* CAPREÆ *vel* HINNULO CERVORUM *celeri fidei cursu, ad omnes fines terræ currens speciosis pedibus Apostolorum, de quibus Dominus dixit in scriptura*: Quam speciosi pedes Evangelizantium bona. AD MONTES CONVALLIUM, *quæ sunt justorum animæ: & montes quidem, propterea quod supereminent virtute justitiæ*: CONVALLES *vero, quia instar Convallium prædicationem fidei suscipiunt, & retinent.* Rom. x. 15.

LXXII. IN CUBILI MEO IN NOCTIBUS QUÆSIVI QUEM DILEXIT ANIMA MEA; QUÆSIVI EUM, ET NON INVENI EUM; VOCAVI EUM, ET NON AUDIVIT ME.

Cum enim peccatis prægravati dormimus IN NOCTIBUS, *idest*

(1) Hunc vers. in meo & Barb. corruptissimum restitui ex edit. Vat.

ΝΥΞΙΝ· ὅπερ ἐστὶν, ἐν τοῖς μιαροῖς τῶν σκοτεινῶν ἡδονῶν καὶ ἀθεμίτων ἁμαρτημάτων ἀναστρεφόμενοι χριστιανίζειν δῆθεν (1) νομίζομεν· τὸ τηλικαῦτα ἐν νυξὶ ζητούμενοι δῆθεν ἀπαγόμεν (2). αὐτὸς γὰρ εἴρηκε· ζητήσατε τὸν Θεὸν (3) καὶ ἐν τῷ εὑρίσκειν (4) ἐπικαλέσασθε. ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ· καὶ ἐπιστραφήτω πρὸς κύριον, καὶ ἐλεηθήσεται. ἐὰν οὕτως ζητήσωμεν αὐτὸν, τότε ἡμῶν ἐπακούσει. ἐὰν δὲ ἐπὶ κοίτην τῶν ἁμαρτημάτων ὄντες, καὶ ἐν νυκτὶ σκοτιζόμενοι ἀπὸ τῶν ἁμαρτιῶν ζητοῦμεν αὐτὸν, οὐχ εὑρίσκομεν· οὐδ', ἂν οὕτως καλοῦμεν αὐτὸν, ἐπακούει· διὸ λέγει· μὴ οὐκ ἰσχύει ἡ χεὶρ κυρίου τοῦ σῶσαι; ἢ οὐκ ἰσχύει τοῦ ἐξελέσθαι; ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διιστῶσιν * ἀναμέσον (5) ὑμῶν καὶ αὐτοῦ. διὰ τοῦτο ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον.

Ἡσαΐ. νε'. ϛ'. ζ'. — Ἡσαΐ. νθ'. α'. — Ἡσαΐ. νθ'. β'.

Κεφ. γ'. β'.

ογ'. ΑΝΑΣΤΗΣΟΜΑΙ ΔΗ ΚΑΙ ΚΥΚΛΩΣΩ ΕΝ ΤΗι ΠΟΛΕΙ, ΕΝ ΤΑΙΣ ΑΓΟΡΑΙΣ, ΚΑΙ ΕΝ ΤΑΙΣ ΠΛΑΤΕΙΑΙΣ, ΚΑΙ ΖΗΤΗΣΩ ΟΝ ΗΓΑΠΗΣΕΝ Η ΨΥΧΗ ΜΟΥ· ΕΖΗΤΗΣΑ ΑΥΤΟΝ, ΚΑΙ ΟΥΧ ΕΥΡΟΝ ΑΥΤΟΝ.

Οὐδὲ νῦν λέγει εὑρηκέναι αὐτόν· καὶ ἀναστησομένη (6), ὡς εἰπεῖν, καὶ δι' εὐχῆς πρὸς αὐτὸν προσελθοῦσα. καὶ διὰ τί πάλιν οὐχ εὗρεν αὐτὸν, τὴν αἰτίαν ἐν αὐτοῖς μηνύει τοῖς γράμμασιν ΑΝΑΣΤΗΣΟΜΑΙ λέγουσα, ΚΑΙ ΚΥΚΛΩΣΩ ΕΝ ΤΗι ΠΟΛΕΙ, ΕΝ ΤΑΙΣ ΑΓΟΡΑΙΣ, ΚΑΙ ΕΝ ΤΑΙΣ ΠΛΑΤΕΙΑΙΣ· ὅπερ ἐστὶν ἐν ταῖς τοῦ βίου πραγματείαις, καὶ ἐν πλατείᾳ ἀπαγούσῃ εἰς τὴν ἀπώλειαν. διὸ φησὶ

(1) Δῆθεν particula, cujus usus in ironia, ut in hoc loco. In Catena Meursii pag. 32. lin. 4. οἱ γὰρ ἐν σκότῳ, φησὶ, καὶ κοίταις ἁμαρτωλῶν βιοτεύοντες, κἂν δοκῶσι ζητεῖν Θεὸν, οὐχ εὑρίσκουσιν αὐτόν.

(2) Legendum omnino ζητούμενοι δῆθεν, ὃν ἀγαπῶμεν.

(3) Sic etiam Cod. Alex. Edi-

ideſt in ſceleratis tenebroſiſque voluptatibus, nefariiſque peccatis, Chriſtianos ſcilicet nos eſſe exiſtimamus; tunc IN NOCTIBUS *eum quærentes, diligimus ſcilicet. Ipſe enim dicit:* Quaerite Deum, & in inveniendo eum invocate; & poſtquam vobis appropinquaverit, derelinquat impius vias ſuas, & vir iniquus cogitationes ſuas, & convertatur ad Dominum, & miſericordiam conſequetur. *Illum igitur ſi ad hunc modum quæſierimus, tunc nos exaudiet. Si vero, cum in peccatorum cubili ſumus, & in noctibus a peccatis obſcurati illum quærimus, non invenimus; neque, ſi ſic eum invocemus, ille nos exaudit. Propterea:* Nunquid, *inquit*, non valet manus Domini ſalvos facere? Nunquid non poteſt nos eripere? ſed peccata veſtra ſeparant inter vos, & ipſum. *Propterea quæſivi eum, & non inveni.*

Iſai. LV. 6. 7.

Iſai. L. 2.

Iſai. LIX. 1.

LXXIII. SURGAM NUNC, ET CIRCUIBO IN CIVITATE, IN FORIS ET IN PLATEIS, ET QUÆRAM QUEM DILEXIT ANIMA MEA; QUÆSIVI EUM, ET NON INVENI EUM.

Ne nunc quidem ait ſe illum inveniſſe, etiamſi exurrexerit, ut ita dicam, & per precationem ad ipſum profecta ſit. Cur autem rurſus eum non invenerit, cauſam oſtendit in iiſdem verbis: SURGAM, *ait*, ET CIRCUIBO IN CIVITATE, IN FORIS, ET IN PLATEIS, *ideſt inter mundi negotia, & in platea, quæ ducit ad perditionem. Propterea*

L

tio Vatic. τὸ κύριον.

(4) Edit. Vat. ἐν τῷ εὑρίσκειν αὐτόν.

(5) Vatic. edit. habet καὶ ἀναμένουσι τοῦ Θεοῦ. Illa vero ἡ οὐκ ἰσχύει τοῦ ἐξελέσθαι; abſunt ab omnibus Bibl. editionibus.

(6) Legendum ἀναστησαμένη.

Ματθ. ζ'. ιδ'. σι μὴ εὑρηκέναι αὐτόν. στενὴ γὰρ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν.

Κεφ. γ'. γ'. οδ'. ΕΥΡΟΣΑΝ ΜΕ ΟΙ ΤΗΡΟΥΝΤΕΣ, ΟΙ ΚΥΚΛΟΥΝΤΕΣ ΕΝ ΤΗι ΠΟΛΕΙ. ΜΗ ΟΝ ΗΓΑΠΗΣΕΝ Η ΨΥΧΗ ΜΟΥ, ΙΔΕΤΕ;

ΤΗΡΟΥΝΤΑΣ καὶ ΚΥΚΛΟΥΝΤΑΣ ΕΝ ΤΗι ΠΟΛΕΙ τοὺς δικαίους λέγει· τοὺς ΤΗΡΟΥΝΤΑΣ τὴν ἐντολήν· τοὺς ΚΥΚΛΟΥΝΤΑΣ ΕΝ ΤΗι ἐκκλησίᾳ, τοὺς ἁγίους προφήτας καὶ ἀποστόλους. Οἷον φέρε εἰπεῖν, ὑπόταν ἁμαρτωλὸς διαλέγοιτο πρὸς δίκαιον, καὶ λέγει αὐτῷ· διὰ τί οὐκ εἰσακούει μου ὁ δεσπότης, καὶ (1) ὀρθρίζω εἰς τὴν ἐκκλησίαν, καὶ πένητας ἐλεῶ (2)· κἄν τι μικρὸν ἀγαθὸν ποιήσῃ, ἐκεῖνο βλέπει, καὶ τὸ πλῆθος τῶν ἁμαρτημάτων οὐ προσποιεῖται βλέπειν; διό φησιν Ἠσαΐας· μὴ οὐκ ἰσχύει ἡ χεὶρ κυρίου τοῦ σῶσαι; ἢ οὐκ ἰσχύει τοῦ ἐξελέσθαι; ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διϊστῶσιν ἀναμέσον ὑμῶν καὶ τοῦ κυρίου. εἶτα ἐπιφέρει ἡ νύμφη καὶ λέγει·

Ἡσαΐ. νθ'. α'.

Κεφ. γ'. δ'. οε'. ΩΣ ΜΙΚΡΟΝ ΟΤΕ ΠΑΡΗΛΘΟΝ ΑΠ ΑΥΤΩΝ, ΕΩΣ ΟΥ ΕΥΡΟΝ ΟΝ ΗΓΑΠΗΣΕΝ Η ΨΥΧΗ ΜΟΥ.

Ὁπόταν γὰρ ἀπὸ τῶν ἁμαρτημάτων παρέλθωμεν, τότε εὑρίσκομεν ΟΝ ΗΓΑΠΗΣΕΝ Η ΨΥΧΗ ἡμῶν, τὸν λέγοντα· ἐπίστρεφε, ἐπίστρεφε πρὸς κύριον· ἀπόλειπε τὰς ἁμαρτίας καὶ σφόδρα μίσησον βδέλυγμα. καὶ πάλιν· ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν· ἀπολειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ. διὰ τοῦτο ΩΣ ΜΙΚΡΟΝ ΟΤΕ ΠΑΡΗΛΘΟΝ ΑΠ ΑΥΤΩΝ ΕΩΣ (3) ΟΥ ΕΥΡΟΝ, ΟΝ ΗΓΑΠΗΣΕΝ Η ΨΥΧΗ ΜΟΥ.

Σοφ. σειρ. ιζ'. κε'. κϛ'. Ἡσαΐ. νε'. ζ'. η'.

οϛ'. ΕΚΡΑ-

(1) Lego εἰ καὶ.

ea dicit, se eum non invenisse; Angusta enim porta, & arcta via, quæ ducit ad vitam. *Matth. VII. 14.*

LXXIV. INVENERUNT ME CUSTODES, QUI CUSTODIUNT, QUI CIRCUMEUNT IN CIVITATE: NUNQUID QUEM DILEXIT ANIMA MEA, VIDISTIS?

CUSTODES *&* CIRCUMEUNTES IN CIVITATE *justos vocat, qui mandata custodiunt, SS. Prophetas, & Apostolos in Ecclesia circumeuntes. Exempli gratia, cum peccator iustum alloquitur, eique dicit: Quare non exaudit me Dominus? etsi summo mane ad Ecclesiam me confero, & pauperibus misericordiam adhibeo. Ac si tantillum boni fecerit, ad illud respicit, & se peccatorum multitudinem non videre simulat. Propterea Isaias ait*: Nunquid non *Isai. LIX. 1.*
valet manus domini nos salvare? Nunquid non potest nos eripere? Sed peccata vestra separant inter vos & Dominum. *Deinde subdit sponsa dicens*:

LXXV. QUAM MODICUM FUIT CUM TRANSIVI AB IPSIS, QUOADUSQUE INVENI QUEM DILEXIT ANIMA MEA.

Cum enim a peccatis nostris discesserimus, tunc INVENIMUS QUEM DILEXIT ANIMA NOSTRA, *juxta scripturam*: Convertere convertere ad Dominum, & relinque pec- *Eccli XVII. 25.*
cata, & valde odito execrationem. *Et rursus*: Post- *26.*
quam vobis appropinquaverit, derelinquat impius vias *Isai. LV. 7. 8.*
suas. *Propterea, inquit*: QUAM MODICUM FUIT CUM TRANSIVI AB IPSIS, QUOADUSQUE INVENI QUEM DILEXIT ANIMA MEA.

 LXXVI. TE-

(2) Sic scribendum pro ἐλαιῶς, qui error est in Codd.

(3) Revocavi has duas voces, quæ absunt a Codd.

Κεφ. γ'. δ'. ος'. ΕΚΡΑΤΗΣΑ ΑΥΤΟΝ, ΚΑΙ ΟΥΚ ΑΦΗΣΩ (1) ΑΥΤΟΝ.

Πῶς κρατεῖ αὐτὸν ἡ τῶν πιστῶν ψυχή; ἐν τῷ τὰ (2) εὐάρεστα αὐτῷ ποιεῖν. ἀρεσκόμενος γὰρ ὁ νυμφίος καθάπερ νύμφη τῇ τῶν δικαίων ψυχῇ κρατεῖται ὑπὸ τῶν ἔργων τῆς ἀρετῆς οὐ χερσὶν, ἀλλὰ ἐλεημοσύνῃ καὶ σωφροσύνῃ, καὶ εὐχῇ κρατούμενος.

Κεφ. γ'. δ'. οζ'. ΕΩΣ ΟΥ ΕΙΣΗΓΑΓΟΝ ΑΥΤΟΝ ΕΙΣ ΟΙΚΟΝ ΜΗΤΡΟΣ ΜΟΥ, ΚΑΙ ΕΙΣ ΤΟ ΤΑΜΕΙΟΝ ΤΗΣ ΣΥΛΛΑΒΟΥΣΗΣ ΜΕ.

ΟΙΚΟΝ οἶμαι καλεῖν ΜΗΤΡΟΣ αὐτῆς τὴν καρδίαν τῆς σοφίας αὐτοῦ τοῦ λόγου· καὶ ΤΑΜΕΙΟΝ ΤΗΣ ΣΥΛΛΑΒΟΥΣΗΣ ταύτην, αὐτὴν τὴν καρδίαν εἴ τις ἀποφαίνοιτο, σαφέστατα λέγει· ΟΙΚΟΝ μὲν αὐτῆς δηλοῖ τὸ εἰρημένον· (β'. Κορ. ς'. ις'.) ἐνοικήσω ἐν ὑμῖν καὶ ἐμπεριπατήσω ἐν ὑμῖν (3)· καὶ ΤΑΜΕΙΟΝ αὐτῆς δηλοῖ τὸ ἐν αὐτῇ ἀποκεῖσθαι πάντα τὰ ἀγαθὰ, πίστιν, ἐλπίδα, ἀγάπην, λογισμὸν, σωφροσύνην, ἀρετὴν, ἐγκράτειαν, ὑπομονήν. Ταῦτα δὲ οὐ σώματος, ἀλλὰ ψυχῆς ἐστι κόσμια.

Κεφ. γ'. ε'. οη'. ΩΡΚΙΣΑ ΥΜΑΣ ΘΥΓΑΤΕΡΕΣ ΙΕΡΟΥΣΑΛΗΜ ΕΝ ΤΑΙΣ ΔΥΝΑΜΕΣΙ ΚΑΙ ΕΝ ΤΑΙΣ ΙΣΧΥΣΕΣΙ ΤΟΥ ΑΓΡΟΥ· ΕΑΝ ΕΓΕΙΡΗΤΕ ΚΑΙ ΕΞΕΓΕΙΡΗΤΕ ΤΗΝ ΑΓΑΠΗΝ, ΕΩΣ (4) ΟΥ ΘΕΛΗΣΗ.

Ὑπομονῆς ἐνταῦθα ἀναγέγραπται (5) σημαντήρ· συνεργοὺς γὰρ εἰς εὐχὴν τὰς ΘΥΓΑΤΕΡΑΣ τῆς οὐρανίου αἰτεῖται

(1) Vatic. edit. ἀφῆκα. Lectio Philonis in nullis apparet editt. apud Bos. proxime vero accedit ad lect. Schol. quam Nobilius affert ἀνήσω.

(2) Lectionem hanc desumsi ex Vallic. Cod. Barb. & meus ἀρεστὰ αὐτῷ.

LXXVI. TENUI EUM, NEC DIMITTAM EUM.

Quomodo eum tenet anima justorum? Faciendo nimirum quæ illi sunt placita. Delectatus enim sponsus justorum animâ veluti sponsâ, virtutis tenetur operibus non manibus, sed eleemosyna, castitate, & oratione.

LXXVII. DONEC INTRODUXI EUM IN DOMUM MATRIS MEÆ, ET IN CUBICULUM EJUS, QUÆ CONCEPIT ME.

DOMUM MATRIS *suæ, opinor, vocat cor*, domum scilicet *sapientiæ ipsius Verbi*: & CUBICULUM *ejus, quæ eam concepit, si quis esse hoc ipsum cor pronunciaverit, optime dixerit. Et* DOMUM *quidem ejus vocat, quia dictum est*: Inhabitabo in vobis, & inambulabo in vobis: CUBICULUM *vero, propterea quod in eo* (corde) *reposita sunt omnia bona, fides, spes, dilectio, pia cogitatio, castitas, fortitudo, continentia, patientia. Hæc vero non corporis, sed animæ sunt ornamenta.* *II. Cor. VI. 16.*

LXXVIII. ADJURAVI VOS FILIÆ HIERUSALEM IN VIRTUTIBUS, ET IN VIRIBUS AGRI, SI SUSCITAVERITIS, ET EXUSCITAVERITIS CARITATEM QUOADUSQUE VELIT.

Patientiæ præco hic exclamat. Adiutrices enim ad orationem FILIAS *postulat cælestis* HIERUSALEM; *id est justorum*

(3) Ἐν ὑμῖν abest a Vallic. & Barb. Eam vocem agnovit Vetus Interpres.

(4) Vat. ἕως ἄν.

(5) Legendum puto ἀνακέκραχται.

ται ΙΕΡΟΥΣΑΛΗΜ· ὅπερ ἐστὶ τὰς τῶν δικαίων ψυχὰς, ἵνα ἐγείρωσι καὶ ἐξεγείρωσι τὴν ἀγάπην τοῦ μονογενοῦς πρὸς αὐτὴν, ἕως οὗ θελήσῃ. ἐμοῦ (1) φησι τὸ ὑπομένειν, καὶ ἐκδέχεσθαι, καὶ μακροθυμεῖν τῇ ὑπομονῇ, ἕως οὗ θελήσῃ. Εἶτα φησὶν ὁ νυμφίος πρὸς αὐτήν·

Κεφ. γ΄. ς΄. οθ΄. ΤΙΣ ΑΥΤΗ Η ΑΝΑΒΑΙΝΟΥΣΑ ΑΠΟ ΤΗΣ ΕΡΗΜΟΥ, ΩΣ ΣΤΕΛΕΧΗ ΚΑΠΝΟΥ, ΤΕΘΥΜΙΑΜΕΝΗ ΣΜΥΡΝΑΝ ΚΑΙ ΛΙΒΑΝΟΝ ΑΠΟ ΠΑΝΤΩΝ ΚΟΝΙΟΡΤΩΝ ΜΥΡΕΨΟΥ.

ΑΠΟ ΤΗΣ ΕΡΗΜΟΥ γὰρ βλέπων (2) ἀναβαίνουσαν, τουτέστιν ἀπὸ τῆς εἰδωλολατρείας τὴν ἐκκλησίαν ΩΣ ΣΤΕΛΕΧΗΝ ΚΑΠΝΟΥ ΤΕΘΥΜΙΑΜΕΝΗΝ. ΣΜΥΡΝΑΝ ΚΑΙ ΛΙΒΑΝΟΝ τοῦ πάθους οἶμαι τὴν εὐωδίαν ὑποσημαίνειν. ΣΜΥΡΝΑΝ μὲν διὰ τὴν ταφήν· ΛΙΒΑΝΟΝ δὲ διὰ τὴν θεότητα. ΤΕΘΥΜΙΑΜΕΝΗΝ αὐτὴν βλέπει ΑΠΟ (3) ΠΑΝΤΩΝ ΚΟΝΙΟΡΤΩΝ ΜΥΡΕΨΟΥ. ἵνα εἴπῃ ἀπὸ πάντων τῶν θείων λογίων τῶν ἁγίων προφητῶν. στελέχην δὲ αὐτὴν καλεῖ, καθότι καὶ Ἱερεμίας περὶ αὐτὴν προ-
Ἱερ. ιζ΄. η΄. φητεύει· ἔσται, φησὶν, ἐν αὐτῇ (4) στέλεχη ἀλσώδη.

Κεφ. γ΄. ζ΄. π΄. ΙΔΟΥ Η ΚΛΙΝΗ ΤΟΥ ΣΑΛΟΜΩΝ.

Ἀπεικάζεται Η ΚΛΙΝΗ ΤΟΥ ΣΑΛΟΜΩΝ τῇ ἐκκλησίᾳ τοῦ Υἱοῦ τοῦ Θεοῦ. πρὶν γὰρ λάβῃ τὴν ἐκκλησίαν ἔλε-
Ματθ. η΄. κ΄. γεν· ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ· ὅτε δὲ ταύτην ἔλαβεν, τὸ λοιπὸν ΚΛΙΝΗ γίνεται ΤΟΥ ΣΑΑΟΜΩΝ τουτέστι τοῦ εἰρηνοποιοῦ τοῦ εἰρηνεύσαντος τά τε ἐν οὐρανῷ, τά τε ἐπὶ τῆς γῆς.

πα΄. ΕΞΗ-

(1) Ἐμοῦ φησι usque ad ἕως οὗ θελήσῃ non habet meus Cod., neque Barb. Ea ex Vallic. huc revocanda duxi.

ſtorum animas, ut ſuſcitent & exuſcitent in ſe caritatem Unigeniti, donec velit. Meum, inquit, eſt ſuſtinere, & expectare, & æquo animo ferre cum patientia, donec velit. Deinde ait ſponſus ad eam:

LXXIX. QUÆ EST ISTA, QUÆ ASCENDIT EX EREMO, TANQUAM TRUNCUS FUMI INCENSUS, MYRRHAM, ET THUS EX OMNIBUS PULVERIBUS UNGUENTARII.

A deſerto enim, hoc eſt ab idololatria, Eccleſiam videt aſcendere, tanquam VIRGULAM FUMI INCENSAM. MIRRHAM ET THUS *paſſionis odorem arbitror ſignificare:* MYRRAM *quidem propter ſepulturam;* THUS *vero propter divinitatem.* INCENSAM *ipſam videt* AB OMNIBUS PULVERIBUS UNGUENTARII, *quaſi dicat ab omnibus divinis eloquiis ſanctorum Prophetarum. Ipſam autem vocat* VIRGULAM, *quemadmodum etiam Hieremias de ipſa prophetat:* Et erunt, *inquit*, in eo propagines nemoroſæ. *Hierem. XVII. 8.*

LXXX. ECCE LECTUS SALOMONIS.

Aſſimilatur SALOMONIS LECTUS *Eccleſiæ Filii Dei. Nam priusquam Eccleſiam acciperet, dicebat:* Filius hominis non habet ubi reclinet caput ſuum. *Matth. VIII. 20.* *Poſtquam vero eam accepiſſet, facta eſt jam* LECTUS SALOMONIS, *pacifici nimirum, qui omnia in cælo, & in terra pacavit.*

LXXXI. SE-

(2) Lego βλέπει.

(3) A Barb. abſunt ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ. ἵνα εἴπῃ, quæ huc revocavi e Cod. Vallic.

(4) Edit. Vat. ἐπ' αὐτῷ. Alexandr. ἐν αὐτῷ. In verſione poſui interpretationem Vatic. editionis.

Κεφ. γ'. ζ'. η'. πα'. ΕΞΗΚΟΝΤΑ (1) ΔΥΝΑΤΟΙ ΚΥΚΛΩι ΑΥΤΗΣ ΑΠΟ ΔΥΝΑΤΩΝ ΙΣΡΑΗΛ· ΠΑΝΤΕΣ ΚΑΤΕΧΟΝΤΕΣ ΡΟΜΦΑΙΑΝ, ΔΕΔΙΔΑΓΜΕΝΟΙ (2) ΕΙΣ ΠΟΛΕΜΟΝ.

ΕΞΗΚΟΝΤΑ ΔΥΝΑΤΟΥΣ ΚΥΚΛΩι ΑΥΤΗΣ οἶμαι λέγειν ΑΠΟ ΔΥΝΑΤΩΝ ΙΣΡΑΗΛ τοὺς ἀποστόλους, τοὺς ἀπὸ τῶν προφητῶν ὁρμωμένους, καὶ τὰς περὶ (3) Χριστοῦ μαρτυρίας ἐκ τῶν προφητῶν συνιστῶντας· τὸ δὲ ΕΞΗΚΟΝΤΑ, μὴ τὸν ἀριθμὸν σκόπει, ἀλλὰ τὸ ἐξεληλυθέναι αὐτοὺς ἐκ τῆς περιτομῆς, καὶ τοῦ κατὰ γράμμα νόμου. ΠΑΝΤΑΣ δὲ αὐτοὺς λέγει ΚΑΤΕΧΟΝΤΑΣ ΡΟΜΦΑΙΑΝ· ἐπειδὴ
Ἑβραι. δ'. ιβ'. πάντες τὸν τοῦ Θεοῦ κατέχουσι νόμον, καὶ λόγον. ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον· ΔΕΔΙΔΑΓΜΕΝΟΙ ΕΙΣ ΠΟΛΕΜΟΝ, οὐ τὸν πρὸς
Ἐφεσ. ς'. ιβ'. ἀνθρώπους, ἀλλὰ πρὸς τὰ πνευματικὰ (4) τῆς πονηρίας, κατὰ τὸν
Ἰωηλ. γ'. ια'. λέγοντα προφήτην· ὁ πραῢς ἔστω μαχητής.

Κεφ. γ'. η'. πβ'. ΑΝΗΡ ΡΟΜΦΑΙΑ ΑΥΤΟΥ ΕΠΙ ΤΟΝ ΜΗΡΟΝ ΑΥΤΟΥ.

ret uvam, & fecit spinas. MALA GRANATA VERO FLORUERUNT, *idest Ecclesiæ per diversa loca dissitæ: & ut mala granata sanguineum, & vineum colorem habent aspectu, & intus fructum multis granis compositum, ita sanctæ Dei Ecclesiæ sanguine Christi perunctæ merito malis granatis assimilantur: Multitudinem enim sanctificati populi rubro colore tinctam in se continentes, cælestis doni habent bonitatem.*

CLXXXIX. IBI DABO UBERA MEA TIBI.

Vetus Testamentum, opinor, & Novum dicit se dare in Ecclesiis proprio sponso. Sponsa enim aliquando sponsi ubera, aliquando sua ipsius ubera vocat duo Testamenta. Cum enim laudat suum sponsum ait: bona ubera tua super

(5) Error idem qui supra, in omnibus Codd. *εἰνοπὲν*.

(6) Hactenus Philo sacrum textum integrum exhibuit. Sed in hoc loco illa omisit οὐκ ἔγνω ἡ ψυχή μου, quæ inter hunc & sequentem versum interjecta sunt. Vetus itidem Interpres eadem præteriit.

τῆς νυμφίου λέγει· ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον. νῦν δὲ ταύτας τὰς δύο διαθήκας ἰδίους φάσκουσα μαστοὺς λέγει. ΕΚΕΙ ΔΩΣΩ ΤΟΥΣ ΜΑΣΤΟΥΣ ΜΟΥ ΣΟΙ· ὅπερ ἐστὶν, ἐν τῇ ἐκκλησίᾳ τὰς δύο διαθήκας τετελεσμένας, καὶ πεπληρωμένας ἐν ἔργοις δικαιοσύνης τῶν ἰδίων τέκνων. λαμβάνει γὰρ αὐτοὺς ἐν ταῖς ἐντολαῖς τοῦ ποιῆσαι τὸν νόμον. καὶ τὰ ἐν τοῖς εὐαγγελίοις διατεταγμένα· δίδωσιν δὲ πάλιν, πληρώσασα τὰ ἐν αὐτοῖς προστεταγμένα.

Κεφ. ϛʹ. ιβʹ. ρϟʹ. ΕΘΕΤΟ ΜΕ ΑΡΜΑΤΑ ΑΜΙΝΑΔΑΒ.

ΑΜΙΝΑΔΑΒ ἑρμηνεύεται πατρὸς εὐδοκία. ἔθετο τὴν ἐκκλησίαν εἰς τὸ τετράτωπον τῶν εὐαγγελικῶν ἁρμάτων· ἵνα ἐν αὐτῷ ἐπιβᾶσα τὴν εἰς οὐρανοὺς ἀπαράσηται πορείαν πυρίνῳ ΑΡΜΑΤΙ καὶ αὐτή· ὅπερ ἐστὶ τῷ ἁγίῳ πνεύματι εἰς οὐρανοὺς ἀναλαμβανομένη.

Κεφ. ϛʹ. ιγʹ. ρϟαʹ. ΕΠΙΣΤΡΕΦΕ ΕΠΙΣΤΡΕΦΕ ΟΔΟΛΛΑΜΙΤΙΣ (1).

ΑΔΟΛΛΑΜΗΣ ἑρμηνεύεται μαρτυροῦσα εἰς ὕδωρ. βλέπε τὴν θαυμάσιον ἀκολουθίαν ταύτης τῆς ἁγίας νύμφης Χριστοῦ. τίς γὰρ εἰς ὕδωρ μαρτυρεῖ, ἀλλ' ἡ αὐτὴ, ὅτι διὰ λουτροῦ παλιγγενεσίας τὴν τῆς Τριάδος μίαν ὁμολογεῖ θεότητα, καὶ ταύτην τὴν πίστιν εἰς ὕδωρ μαρτυροῦσα; διπλῶν δὲ κελεύει τὴν ἐπιστροφὴν ποιήσασθαι, ΕΠΙΣΤΡΕΦΕ ΕΠΙΣΤΡΕΦΕ λέγων, ἵνα μὴ μόνον τῷ στόματι μαρτυρήσῃ, ἀλλὰ καὶ τὰς πράξεις ἐναρέτους καὶ πρεπούσας τῇ ἐπιστροφῇ παράσχοι.

Κεφ. ϛʹ. ιγʹ. ρϟβʹ. ΕΠΙΣΤΡΕΦΕ ΕΠΙΣΤΡΕΦΕ, ΚΑΙ ΟΨΟΜΕΘΑ ΕΝ ΣΟΙ.

ΕΠΙΣΤΡΕΦΕ ἀπὸ κακίας εἰς ἀκακίαν, ἀπὸ πορνείας εἰς

(1) Vetus Interpres habet *Salamitis*. Vatic. edit. Σουναμῖτις.

super vinum. *Nunc vero duo hæc Testamenta sua vocat ubera*: IBI DABO UBERA MEA TIBI. *Idest in Ecclesia duo Testamenta perfecta, & completa in operibus justitiæ meorum filiorum. Accipit enim ea* (ubera) *in mandatis, ut adimpleat Legem, & quæ in Evangeliis præcipiuntur. Ea vero præbet rursus, cum implet quæ in iis statuuntur.*

CXC. POSUIT ME CURRUS AMINADAB.

AMINADAB *interpretatur patris beneplacitum. Posuit Ecclesiam in quadrijugi curru Evangeliorum, ut cum ipsum conscenderit, ipsa quoque iter ad cælum amplectatur in* CURRU *igneo, idest Spiritu Sancto in cælos assumta.*

CXCI. CONVERTERE CONVERTERE ODOLLAMITIS.

ODOLLAMES *interpretatur testificans in aqua. Vide sanctæ hujus sponsæ Christi miram in suis verbis cohærentiam. Quis enim testificatur in aqua, nisi illa, cum per lavacrum regenerationis unam Trinitatis confitetur divinitatem, & hanc ipsam fidem in aqua confitendo? Duplicem vero jubet conversionem dicens*: CONVERTERE CONVERTERE, *ne ore tantum confiteatur, sed actiones propter virtutem laudabiles & conversione dignas exhibeat.*

CXCII. CONVERTERE CONVERTERE ET VIDEBIMUS IN TE.

CONVERTERE *a malignitate ad innocentiam, a fornica-*

εἰς ἁγνείαν, ἀπὸ ὀργῆς εἰς πρᾳότητα, ἀπὸ θυμοῦ εἰς ἐπιείκειαν, ἀπὸ ὑπερηφανείας εἰς ταπεινοφροσύνην, ἀπὸ μίσους εἰς ἐντελῆ (1) ἀγάπην. ΚΑΙ ΟΥΟΜΕΘΑ ΕΝ ΣΟΙ Χριστὸν τὸν
β'. Κορ. ς'. ις'. λέγοντα· ἐνοικήσω ἐν ὑμῖν, καὶ ἐμπεριπατήσω.

Κεφ. ς'. ιγ'. ρϙγ'. ΤΙ ΟΨΕΣΘΕ ΕΝ ΤΗι ΟΔΟΛΛΑΜΙΤΙΔΙ Η ΕΡΧΟΜΕΝΗ ΩΣ ΧΟΡΟΙ ΤΩΝ ΠΑΡΕΜΒΟΛΩΝ;

Μετὰ γὰρ τὸ βάπτισμα ΩΣ ΧΟΡΟΙ ΤΩΝ ΠΑΡΕΜΒΟΛΩΝ, ὅπερ ἐστὶν ὡς ἄγγελοι Θεοῦ οἱ νεοφώτιστοι ἔρ-
Γεν. λβ'. β'. χονται. ἀγγέλους γὰρ ἀπαντήσας Ἰακὼβ λέγει· παρεμβολὴ Θεοῦ αὕτη.

Κεφ. ζ'. α'. ρϙδ'. ΤΙ (2) ΩΡΑΙΩΘΗΣΑΝ ΔΙΑΒΗΜΑΤΑ ΣΟΥ ΕΝ ΥΠΟΔΗΜΑΣΙ ΘΥΓΑΤΕΡ ΑΜΙΝΑΔΑΒ;

Θαυμάζει τὰ ὑποδήματα τῆς θυγατρὸς τῆς (3) τοῦ
Ἐφεσ. ς'. ιε'. πατρὸς εὐδοκίας. περὶ ὧν ὑποδημάτων καὶ Παῦλος μοι δοκεῖ ὁ θειότατος ἀπόστολος λέγων· ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης. θαυμάζει δὲ τὰ
Ρωμ. ι'. ιε'. τῶν ἀποστόλων διαβήματα. ὡς ὡραῖοι, γάρ φησι, οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά.

Κεφ. ζ'. α'. ρϙε'. ΡΥΘΜΟΙ ΜΗΡΩΝ (4) ΣΟΥ ΟΜΟΙΟΙ ΟΡΜΙΣΚΟΙΣ ΕΡΓΩι ΧΕΙΡΩΝ ΤΕΧΝΙΤΟΥ.

Τὸ συνεσφιγμένον τῶν μηρῶν σου ἐπὶ τῇ τῆς σωφροσύνης ζωῇ (5) ὑποτίθεσθαί μοι δοκεῖ ἐνταῦθα ἡ ἁγία (6) γραφή. ΡΥΘΜΟΙ ΜΥΡΩΝ ΣΟΥ λέγουσα ΟΜΟΙΟΙ ΟΡΜΙΣΚΟΙΣ ΕΡΓΩι ΧΕΙΡΩΝ ΤΕΧΝΙΤΟΥ. Τῇ γὰρ ἁρμονίᾳ

(1) Mutin. Cod. τελείαν.

(2) Hujus lectio versus nihil differt a lectione, quæ est Cod. Alex. qui tamen post ὑποδήμασι non habet σου. Edit. Vaticana neque habet τί, & habet ὑποδήμασί σου, & exhibet ναδὰβ, non ἀμιναδάβ.

(3) Forte τῆς πατρὸς εὐδοκι-

nicatione ad castitatem, ab iracundia ad mansuetudinem, a furore ad æquitatem; a superbia ad humilitatem, ab odio ad perfectam dilectionem; ET VIDEBIMUS IN TE *Christum, qui ait:* Inhabitabo in vobis, & inambulabo. *II. Cor. VI. 16.*

CXCIII. QUID VIDEBITIS IN ODOLLAMITIDE, QUÆ VENIT UT CHORI CASTRORUM.

Nam post Baptismum UT CHORI CASTRORUM, *idest ut Angeli Dei veniunt nuper baptizati. Angelis enim occurrens Jacob dicit:* Castra Dei hæc. *Genes. XXXII. 2.*

CXCIV. QUID SPECIOSI FACTI SUNT GRESSUS TUI IN CALCEAMENTIS FILIA AMINADAB.

Demiratur calceamenta filiæ, quæ patri complacuit. De quibus calceamentis Paulus mihi videtur divinissimus Apostolus loqui: Calceati pedes in præparatione Evangelii *Ephes. VI. 15.*
pacis. *Demiratur vero gressus Apostolorum: ait enim,* *Rom. X. 15.*
Quam speciosi pedes evangelizantium pacem, evangelizantium bona.

CXCV. MODULI FEMORUM TUORUM SIMILES TORQUIBUS, OPERI MANUUM ARTIFICIS.

Ut femora cingantur castitatis zona, videtur mihi hoc loco Sacra Scriptura præcipere, dicens: MODULI FEMORUM TUORUM SIMILES TORQUIBUS, OPERI MANUUM ARTIFICIS: *cincta enim Ecclesia Sanctorum harmonia,* (seu

τῆς, *bene acceptæ*. Vide supra ad v. ρξζ. not. 3. pag. 146. Hac voce usus est Symmachus ad illum versiculum.

(4) Hujus versus lectio, quam exhibet Philo, eadem plane est, quam habet Alex. Cod. Vaticana editio non habet σου, & pro ἔργῳ χειρῶν τεχνίτου exhibet ἔργον τεχνίτου sine χειρῶν.

(5) Sic Mss. omnes. Lege ζώνῃ.

(6) Mutin. Cod. θεία.

μονία τῆς σωφροσύνης συνεσφιγμένη ἡ τῶν ἁγίων ἐκκλησία (1) τῷ ἔργῳ τοῦ τεχνίτου ἀφομοιοῦται ἀρχιτεκτονικὰς αὐτὸς οὐρανόν τε καὶ γῆν, καὶ ἐν κοιλίᾳ (2) μητρὸς ἀνθρώπου μορφήν· τῷ αὐτοῦ ἔργῳ ἀπεικάζει τὴν πάνσεμνον τῆς σωφροσύνης ἀρετήν.

Κεφ. ζ'. β'. ρμϛ'. ΟΜΦΑΛΟΣ ΣΟΥ ΚΡΑΤΗΡ ΤΟΡΕΥΤΟΣ, ΜΗ ΥΣΤΕΡΟΥΜΕΝΟΣ ΚΡΑΜΑΤΟΣ (3).

ΟΜΦΑΛΩι οἶμαι τὸ ἱερατεῖον αὐτῆς τὸ καθαρώτατον, καὶ ἐκτὸς πάσης ἁμαρτίας ἀπεικάζει. τὸ γὰρ εἰπεῖν· ΜΗ ΥΣΤΕΡΟΥΜΕΝΟΣ ΚΡΑΜΑΤΟΣ. δῆλον ὅτι μὴ ὑστερῶν τοῦ Χριστοῦ αἵματος. τορευτὸν δὲ αὐτὸν εἶπε καλῶς διὰ τὸ ἐξεσμένους καὶ ἀπὸ πάσης ἁμαρτίας κεκαθαρμένους τοὺς ἱερεῖς εἶναι πρέπειν (4).

Κεφ. ζ'. β'. ρμζ'. ΚΟΙΛΙΑ ΣΟΥ ΘΗΜΩΝΙΑ ΣΙΤΟΥ ΠΕΦΡΑΓΜΕΝΗ ΚΡΙΝΟΙΣ (5).

ΚΟΙΛΙΑΝ δὲ αὐτῆς τὸ πλῆθος τοῦ λαοῦ λέγει. καὶ γὰρ σίτῳ τοὺς πολλοὺς ἀπεικάζει πρεπόντως διὰ τὸ καὶ (6)
Ἰωάν. ιβ'. κδ'. τὸν κύριον εἰρηκέναι περὶ τοῦ ταύτης καρποῦ· ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πλείονα (7) καρπὸν φέρει. ΘΗΜΩΝΙΑ ΣΙΤΟΥ τοίνυν λέγεται ἡ ἁγία (8) ἐκκλησία, ὅπεται ὀχληδὸν (9) συναχθεὶς ὁ λαὸς εἰς ἐφ' ἑνὶ ἀθροιζόμενος τῆς (10) καλῆς ὁμονοίας σωρηδὸν (11) τὸν δῆμον ἐνδείκνυται· διὰ τινες μέλιτται (12) καλῶς συμπλεξάμεναι δι' ὁμονοίας βότρυας, καὶ

(1) Meus & Barb. male ἐκκλησιῶν, restitui ex Mutin. ἐκκλησία.

(2) Obscurum in hoc loco Philonis sensum sic suo more παραφράζων Salutatus illustrat: *Quique (summus artifex) vel in ventre Matris formam veri hominis, quem semel assumsit, & numquam est exuturus, sua ipsius bonitate sapientiaque formavit, ob idque ejus operi universam cælestis sapientiæ virtutem, & castitatis integritatem comparat.*

(3) Sic Alex. Vaticana ed. habet κρᾶμα.

(4) Πρέπειν abest a Mutinen.

(5) Edit. Vat. ἐν κρίνοις. Hic quoque omittit illa sacri textus,

modulo) *castitatis assimilatur operi artificis, qui fabricatus est cælum & terram, & in utero matris formam hominis. Huic operi ipsius assimilat venerandam castitatis virtutem.*

CXCVI. UMBILICUS TUUS CRATER TORNATILIS, NON DEFICIENS MIXTO.

UMBILICO, *ut arbitror, sacrarium ipsius* [Sponsæ] *purissimum & omnis peccati expers assimilat. Cum enim dicit*, NON DEFICIENS MIXTO, *intelligit non deficiens Christi sanguine. Bene autem illum* (umbilicum) *tornatilem vocat, quod erasos Sacerdotes esse oportet & ab omni peccato purgatos.*

CXCVII. VENTER TUUS ACERVUS FRUMENTI SEPTUS LILIIS.

VENTREM *ipsius intelligit populi multitudinem; apte enim multitudinem frumento assimilat; propterea quod etiam Dominus dixerit de ejus fructu*, nisi granum fru- *Joann. XII. 24.*
menti cadens in terra mortuum fuerit, ipsum solum manet; si autem mortuum fuerit, majorem fructum affert. ACERVUS *igitur* FRUMENTI *dicitur Sancta Ecclesia, quando turba incondite coacta, singuli singulis coacervati per bonam concordiam ordinatum & veluti turrim populum firmum exhibent, quemadmodum apes quæ bene sese*

X 2 in-

Δύο μαστοί σου, ὡς δύο νεβροὶ δίδυμοι δορκάδος, quæ ibidem omisit Vetus Interpres.

(6) Mutavi κατ in καὶ.

(7) Sacer textus habet πολύ.

(8) Restitui ἅγια ex C. Mutin.

(9) oo Codd. habent ὀχληδὼν.

(10) Forte δέχεται.

(11) Lege πυργηδὸν. Vox Homerica, quam Scholiastes ad Iliad. M. v. 43. exponit πύργου δίκην, ἐν τάξει. Et O. v. 618. πυργηδὸν, πυκνῶς, ἀσφαλῶς, ἐν τάξει, δίκην πύργου.

(12) Sic emendandus Codicum error μελίττα καλὸν.

καὶ αὐτὴ δὲ ἡ ἁγία ἐκκλησία καθάπερ δεάματα (1) τοῦ λαοῦ ῥοίζουσα τὰ σώματα θημωνία σίτου ἀπεικάζεται. ΠΕΦΡΑΓΜΕΝΗ ἐν ΚΡΙΝΟΙΣ, ὅπερ ἐστὶν ἐν τοῖς εὐώδεσι τοῦ Θεοῦ λόγοις.

Κεφ. ζ'. δ'. ρμη'. ΤΡΑΧΗΛΟΣ (2) ΣΟΥ ΩΣ ΠΥΡΓΟΣ ΕΛΕΦΑΝΤΙΝΟΣ.

ΤΡΑΧΗΛΟΣ αὐτῆς, οἶμαι, λέγει τὸ καθαρώτατον τῶν διακόνων τάγμα· ἐπειδήπερ κεφαλὴ τῆς ἐκκλησίας ὁ Χριστός. οὗτοι δὲ βαστάζουσι (3) τὸ σῶμα τοῦ Χριστοῦ καὶ τὸ αἷμα, τὴν κεφαλὴν τῆς ἐκκλησίας. ὥσπερ οὖν ὁ τράχηλος αὐτῆς εἰσὶν ἐλεφάντινος, μάλιστα ὁπότ' ἐν καθαρῷ τῷ συνειδότι ἀρύτως (4) τὸ μυστήριον ἔχουσιν, ὡς καὶ ἅγιος εἶπεν ἀπόστολος· διακόνους ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, ἔχοντας τὸ μυστήριον πίστεως ἐν καθαρᾷ συνειδήσει. (α'. Τιμοθ. γ'. η'. θ'.) ἐλεφάντινος γὰρ οὗτοι τράχηλος λέγονται. καθάπερ τὸ πυξίον ἐλεφάντινον ῥύπον μὴ παραδεχόμενον (5), ἀλλὰ καθαρότητι βίου καὶ τρόπου (6) τοῖς ἁγίοις διακονοῦντες μυστηρίοις.

Κεφ. ζ'. δ'. ρμθ'. ΟΦΘΑΛΜΟΙ ΣΟΥ ΛΙΜΝΑΙ ΕΝ ΕΣΕΒΩΝ, ΕΝ ΠΥΛΑΙΣ ΘΥΓΑΤΡΟΣ ΠΟΛΛΩΝ.

Ὅπου γὰρ συνειδήσεως καθαρότης, ἐκεῖ καὶ λογισμῶν εὐθύτης. ΕΣΕΒΩΝ (7) ἑρμηνεύεται καθαρότης λογισμῶν. Ἐπειδὴ γὰρ τῆς καρδίας τὸ ὁρατικὸν οἱ ἔνδον τῆς ψυχῆς εἰσὶν ὀφθαλμοὶ οἱ κατοπτεύοντες οὐ μόνον τὰ ὁρώμενα δι' ὀφθαλμῶν,

ἀλλὰ

(1) Locus in oo. Codd. corruptus, qui habent δράματα τοῦ λαοῦ ῥοίζουσα τὰ σώματα θημ. Legendum καθάπερ δέσματα τοῦ λαοῦ ἀθροίζουσα τὰ σώματα θημωνίᾳ σίτου ἀπεικάζεται. Salutatus Codicem & ipse habuit mendosum, qui legit δράματα: vertit enim, *ita unum drama populi, vel chorus ex multis variisque personis constituitur*: nec reddit illa, θημωνία σίτου ἀπεικάζεται, quæ cum ejus interpretatione cohærere non poterant.

(2) Sic etiam Cod. Alex. sine articulo. Vatic. edit. τράχηλος.

invicem complexæ exhibent botros. At ipsa Sancta Ecclesia tanquam manipulis adunatis populi corporibus acervo tritici assimilatur. SEPTA LILIIS, *hoc est suaveolentibus Dei eloquiis.*

CXCVIII. COLLUM TUUM UT TURRIS EBURNEA.

COLLUM *ejus arbitror dicere mundissimum Diaconorum ordinem; quandoquidem Ecclesiæ caput Christus: hi vero gestant corpus Christi & sanguinem, id est caput Ecclesiæ. Sunt igitur velut ejus collum elephantinum, præsertim quando in pura conscientia mysterium habent, ut ait Sanctus Apostolus:* Diaconos similiter pudicos, non bilingues, non multo vino servientes, habentes mysterium fidei in pura conscientia. *Hi enim elephantinum collum appellantur, veluti pyxis elephantina sordes non recipiendo, sed vitæ morumque puritate sanctis mysteriis ministrando.* *1. Timoth. III. 8. 9.*

CXCIX. OCULI TUI UT STAGNA IN ESEBON, IN PORTIS FILIÆ MULTORUM.

Ubi enim conscientiæ puritas, ibi cogitationum rectitudo. ESEBON *interpretatur puritas cogitationum. Quod enim in corde videndi vim habet, id sunt interiores animæ oculi, qui non solum contemplantur, quæ cernuntur oculis,*

(3) Absurde Vetus Interpr. vertit, *ipsi vero & corpus & sanguinem baptizant*, legit βαπτίζουσι. Proclive illi erat mendum e suo Codice tolere, & ponere βαστάζουσι.

(4) Lege ἀῤῥύπως.

(5) Lege παραδεχόμενοι.

(6) Sic Mut. Alii CC. τέρπου.

(7) Sic Cod. Alex. sine articulo. Vaticana edit. οἱ ὀφθ. & ἐσεβων.

(8) Mutinen. ἐσεβὼν γὰρ ἑρμηνεύεται λογισμοὶ οἱ καθαρεύοντες· οὐ μόνον τὰ ὁρώμενα δι' ὀφθαλμῶν, ἀλλὰ κ. τ. λ.

ἀλλὰ καὶ τὰ νοούμενα πόῤῥωθεν. οὗτοι λιμνηδὸν πληθυνόονται οἱ λογισμοί, ἀναβρυόμενοι ἐκ τῆς τῶν ἁγίων γραφῶν ἐννοίας. ΩΣ ΛΙΜΝΑΙ λελεγμέναι διὰ τὸ πληθύνεσθαι καὶ πλατύνεσθαι ἐν τοῖς τῶν ἁγίων γραφῶν νοήμασι. γνῶσις γὰρ σοφοῦ (1), φησιν, ὡς κατακλυσμὸς πληθυνθήσεται. ΕΝ ΠΥΛΑΙΣ δὲ ΘΥΓΑΤΡΟΣ ΠΟΛΛΩΝ εἴρηται, ἐπειδήπερ θυγάτηρ πολλῶν ἡ ἐκκλησία ἐθνῶν ἐκ πολλῶν συνηγμένη λαῶν, οὐ μόνον ἐκ τῶν τῆς περιτομῆς δώδεκα φυλῶν, ἀλλὰ καὶ ἐκ παντὸς ἔθνους συνηγμένη, ὡς καὶ Ἡσαΐας λέγει· ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες καὶ ἀμπελουργοί.

Σοφ. σειρ. κά. ιγ'.

Ἡσαΐ. ξα'. έ.

Κεφ. ζ'. δ'.

σ'. ΜΥΚΤΗΡ ΣΟΥ ΩΣ ΠΥΡΓΟΣ ΛΙΒΑΝΟΥ ΣΚΟΠΕΥΩΝ ΠΡΟΣΩΠΟΝ ΔΑΜΑΣΚΟΥ.

ΜΥΚΤΗΡΑ αὐτῆς (2) τροπικῶς, οἶμαι, λελέχθαι τὸν ἅγιον Παῦλον· ἐπειδήπερ τῶν δύο διαθηκῶν τὰς ἀναπνοὰς αὐτὸς παρέδωκε τῇ ἁγίᾳ ἐκκλησίᾳ. μυκτὴρ δυσὶν ἀναπνοαῖς τῷ ἀνθρώπῳ τὴν ζωὴν ὀχετεύει· ὡς καὶ αἱ δύο διαθῆκαι ταύτῃ διὰ τοῦ ἑνὸς θείου πνεύματος τὴν αἰώνιον προεξένησαν ζωήν. σαφῶς δὲ εἶπεν ὅτι ΣΚΟΠΕΥΩΝ ΠΡΟΣΩΠΟΝ ΔΑΜΑΣΚΟΥ· καὶ γὰρ ἐν Δαμασκῷ κέκληται ὁ θειό-
Πραξ. θ'. β'. γ'. τατος ἀπόστολος, ὁπηνίκα ἐπορεύετο ἐπιστολὰς λαμβάνων τοῦ διώκειν τοὺς τοῦ Χριστοῦ μαθητάς, ὁπηνίκα ἡ οὐράνιος αὐ-
Πραξ. θ'. δ'. τὸν κατὰ τὴν ὁδὸν ἐκάλει φωνὴ λέγουσα· Σαοὺλ Σαοὺλ τί με διώκεις; εἰς Δαμασκὸν γὰρ εἰσελθὼν τὸ βέβαιον ἐκαρπώσατο τῆς
Πραξ. θ'. ιη'. πίστεως, ὅτε τῆς ὄψεως αὐτοῦ ἀπέπεσον ὡσεὶ λεπίδες. καὶ γὰρ τοῦ αἰωνίου φωτισμοῦ ἔτυχεν.

σα'. ΚΕ-

(1) Manifestum ex verbo φησὶν Philonem ut Librum Canonicum habuisse Sapientiam Siracidis, sive Ecclesiasticum: eodemque modo eumdem librum citat per verbum φησὶ infra ad vers. ccxxxvi. Est autem subintelligenda vox γραφή. Eam vero habeo diserte expressam infra ad vers. ccxxx. ubi afferens locum ex Siracide ait: ὡς ἡ

is, sed quæ a longe intelliguntur. Hæ cogitationes in modum stagni implentur, scaturientes ex Sanctarum Scripturarum meditatione TANQUAM STAGNA *electa, propterea quod implentur, & dilatantur Sacrarum Scripturarum intelligentiis.* Scientia enim, *ait Scriptura,* tamquam inundatio abundabit. IN PORTIS *dicit* FILIÆ MULTORUM; *quoniam filia multarum nationum Ecclesia ex multis gentibus collecta, non modo ex duodecim Tribubus Circumcisionis, sed ex omni gente coacta, ut ait Isaias:* Venient alienigenæ pascentes oves suas, & aliarum gentium aratores & vinitores.

Eccli. xxi. 16.

Isai. lxi. 5.

CC. NASUS TUUS SICUT TURRIS LIBANI, PROSPICIENS FACIEM DAMASCI.

NASUM *ejus arbitror figurate appellare Sanctum Paulum: ipse enim dedit Ecclesiæ duorum Testamentorum spiramenta. Nasus binis spiramentis tanquam rivulis vitam homini derivat; sic duo Testamenta per unum divinum Spiritum æternam illi vitam parant. Manifeste igitur dicit:* RESPICIENS FACIEM DAMASCI. *Etenim Damascum vocatus est divinus Apostolus, quando acceptis literis, ut persequeretur Christi discipulos, illuc proficiscebatur, cum cælestis in itinere vox illum vocavit dicens:* Saule Saule quid me persequeris? *Cum enim Damascum esset ingressus, firmitatem fidei adeptus est, quando* ab ejus oculis deciderunt tanquam squamæ: *etenim æternam lucem consequutus est.*

Act. ix. 2. 3.

Ibid. v. 4.

Act. ix. 18.

CCI. CA-

γραφὴ λέγει. Et ad vers. CCXLIX. utitur eadem plane formula κατὰ τὸ γεγραμμένον, quam D. Paulus citans locum ex Psalm. adhibet II. Cor IV. 13. κατὰ τὸ γεγραμμένον· Ἐπίστευσα κ. τ. λ.

(2) Mutinen. deest.

Κεφ. ζ'. ε'. σα'. ΚΕΦΑΛΗ ΣΟΥ ΕΠΙ ΣΕ ΩΣ ΚΑΡΜΗΛΟΣ.

ΚΑΡΜΗΛΟΣ ἑρμηνεύεται ἐπίγνωσις περιτομῆς. ἀπὸ γὰρ τῆς κεφαλῆς αὐτῆς, τουτέστιν ἀπὸ Χριστοῦ· κεφαλὴ γὰρ τῆς ἐκκλησίας ὁ Χριστός. ἐκ τότε ἡ ἐπίγνωσις γεγένηται τῆς πνευματικῆς περιτομῆς. περὶ ἧς ὁ ἅγιος ἀπόστολος εἴρηκε· καὶ
Ῥωμ. β'. κθ'. περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμμασιν, οὗ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ.

Κεφ. ζ'. ε'. σβ'. ΠΛΟΚΙΟΝ (1) ΚΕΦΑΛΗΣ ΣΟΥ ΩΣ ΠΟΡΦΥΡΑ.

ΠΛΟΚΙΟΝ ΤΗΣ ΚΕΦΑΛΗΣ τὸν πολυάνθρωπον τοῦ λαοῦ λέγειν οἶμαι δῆμον. καθάπερ γὰρ αἱ τρίχες ἐν ἀναριθμήτῳ πλήθει πεπηγμέναι τυγχάνουσιν, οὕτως καὶ τὰ τῶν λαῶν πλήθη τριχῶν δίκην ἀναρίθμητα τυγχάνει. πλέκεται δὲ ταῦτα εἰς κόσμον τῆς ἐκκλησίας, ὥς φησιν ὁ ἅγιος ἀπό-
α'. Κορ. ια'. ιε'. στολος· γυνὴ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν· ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ. Καὶ γὰρ κόμης δίκην τὰ πλήθη τῶν
Ἠσαΐ. μθ'. ιη'. λαῶν περιβάλλεται κατὰ τὸ λέγοντα· πάντας αὐτοὺς ἐνδύσῃ (2), καὶ περιθήσει αὐτοῦ ὡς κόσμον νύμφης. τοῦτο δέ τὸ, ΠΛΟΚΙΟΝ ΩΣ ΠΟΡΦΥΡΑ θεοειδῶς εἴρηται προφητικῶς τε καὶ προγνωστικῶς. καθάπερ γὰρ ἡ πορφύρα ἐν αἵματι βάπτεται, οὕτως καὶ τῶν πιστῶν ἡ πληθὺς, ἐν τῷ αἵματι τοῦ Χριστοῦ βεβαμμένη, βασιλικὴ γέγονεν αὐτῷ ἐσθής, περὶ ἧς Ἰακὼβ τῷ
Γενέσ. μθ'. ια'. Ἰούδᾳ, ἐξ οὗ ἀνέτειλεν ὁ Χριστὸς, τοιάδε (3)· πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ· στολὴ γὰρ καὶ περιβολὴ τοῦ Χριστοῦ ἡ ἁγία σαφῶς ἐκκλησία δείκνυται.

σγ'. ΒΑ-

(1) Editio Vat. καὶ πλόκιον.

(2) Vatic. editio habet πάντας αὐτοὺς ὡς κόσμον ἐνδύσῃ, καὶ περιθήσεις αὐτοὺς ὡς κόσμον νύμφη.

CCI. CAPUT TUUM IN TE SICUT CARMELUS.

CARMELUS *interpretatur agnitio circumcisionis. Nam ab ipso capite idest Christo* (Caput enim Ecclesiæ est Christus) *ex tunc agnitio profecta est spiritualis circumcisionis, de quo S. Paulus dicit*: Et circumcisio cordis in spiritu non littera, cujus laus non ex hominibus, sed ex Deo. *Rom. II. 29.*

CCII. PLEXUS CAPITIS TUI UT PURPURA.

PLEXUM CAPITIS TUI *arbitror dicere frequentissimam populi multitudinem. Quemadmodum enim capilli in multitudine innumera sunt ordinati, sic populorum est multitudo velut capilli sine numero. Plicantur vero illi ad ornatum Ecclesiæ, ut ait D. Paulus*: Mulier si comam nutriat, gloria est illi: *quoniam coma pro velamine data est ei. Etenim instar comæ, populorum multitudine Ecclesia induitur juxta eum, qui dicit*: Omnibus iis indueris, & circumdabis tibi eos ut ornatum sponsæ. *Illud vero*, PLEXUS UT PURPURA, *prophetice, & præsensione quadam divina dictum est. Quemadmodum enim purpura sanguine tingitur, sic etiam fidelium multitudo, sanguine Christi tincta, regia fuit illi vestis, de qua Jacob Judæ, ex quo ortus est Christus, haec dixit*: Lavabit in vino stolam suam, & in sanguine uvæ amictum suum. *Stolam enim & amictum Christi esse sanctam Ecclesiam manifeste ostenditur.*

1. Cor. XI. 15. — *Isai. XLIX. 18.* — *Genes. XLIX. 11.*

At Alexandr. Codex habet πάντας αὐτοὺς ἐνδύσῃ καὶ περιθήσῃ αὐτοὺς ὡς κόσμον νύμφης, quam lectionem sequitur Vet. Interpres.

(3) Restituenda post τάδε vox λέγει ex Cod. Auximano.

Κεφ. ζ'. ε'. σγ'. ΒΑΣΙΛΕΥΣ ΔΕΔΕΜΕΝΟΣ (1) ΕΝ ΠΑΡΑΔΡΟΜΑΙΣ.

Οὗτος γὰρ ὁ ἐπουράνιος βασιλεὺς, περὶ οὗ καὶ Δαβὶδ
Ψαλ. ϟζ'. α'. λέγει· ὁ κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ. οὕτως ΔΕΔΕΤΑΙ ΕΝ ΠΑΡΑΔΡΟΜΑΙΣ. παρατρέχων γὰρ ἐξ οὐρανοῦ ἐπὶ γῆς, καὶ ἕως εἰς τὰ τοῦ ᾅδου κατελθὼν, ἵνα ἐκεῖθεν ἀνασπάσῃ τὸν πεπτωκότα, αὐτὸς ΔΕΔΕΤΑΙ ΕΝ ΠΑΡΑΔΡΟΜΑΙΣ, οὐκ ἀνάγκης δεσμοῖς, ἀλλ' ἑκουσίῳ φιλανθρω-
Ματθ. κη'. κ'. πίας χρηστότητι, εἰπὼν τοῖς ἀποστόλοις· καὶ ἰδοὺ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.

Κεφ. ζ'. ς'. σδ'. ΤΙ ΩΡΑΙΩΘΗΣ, ΚΑΙ ΤΙ ΗΔΥΝΘΗΣ (2).

ΩΡΑΙΩΘΗ γὰρ ὄντως, ΚΑΙ ΗΔΥΝΘΗ οὐχὶ τῆς θεότητος δυνάμεις. οὔτε γὰρ προσθήκην, οὔτε μείωσιν ἐπιδέχεται, ἀλλ' ἡ σὰρξ, ἣν ἀνείληφε· καὶ ὁ τέλειος ἄνθρωπος, ὃν ἐφόρεσεν, οὗτος ὡραιώθη τῇ τῆς θεότητος ὡραιότητι συμμορφωθεὶς, καὶ ἡδύνθη ἐν τῇ τῶν οὐρανῶν καθισθεὶς βασιλείᾳ ἐν δεξιᾷ τοῦ πατρός.

Κεφ. ζ'. ζ'. σε'. Η ΑΓΑΠΗ ΕΝ ΤΡΥΦΑΙΣ ΣΟΥ· ΤΟΥΤΟ ΜΕΓΕΘΟΣ (3) ΣΟΥ. ΩΜΟΙΩΘΗΣ ΤΩι ΦΟΙΝΙΚΙ, ΚΑΙ ΜΑΣΤΟΙ (4) ΣΟΥ ΤΟΙΣ ΒΟΤΡΥΣΙΝ.

ΑΓΑΠΗ γὰρ ὄντως ΕΝ ΤΡΥΦΑΙΣ αὐτοῦ. ΤΡΥΦΑΙ δὲ οὐ ταύταις ταῖς τῆς σαρκὸς σπατάλαις (5), ἀλλ' ἡ (6) τῇ
Ψαλ. λζ'. δ'. τῆς ἐλπίδος πεποιθήσει, ὥς φησι καὶ Δαβίδ· κατατρύφησον

(1) Salutatus vertit *tremendus*. Erat igitur in ejus Cod. δεδιδόμενος. Totum hunc locum affert *Cosmas Indicopleustes* ex Philone lib. 10. p. 330. Tom. II. Novæ Collect. PP. Græcor. edita a Montfauconio.

(2) Salutatus videtur legisse ἡδυνήθης, qui vertit: *quam speciosus factus es & potens*. Ceterum in edit. Vaticana diversa est hujus loci interpunctio, nempe, τί ὡραιώθης, καὶ τί ἡδύνθης ἀγάπη;

(3) Sic Vaticana editio. Sed Philonem puto scripsisse τὸ δὲ μέ-

CCIII. REX VINCTUS IN TRANSCURSIBUS.

Hic enim est cælestis Rex, de quo David dicit: Dominus regnavit exultet terra. *Revera* VINCTUS *est* IN TRANSCURSIBUS: *Currens enim de Cælo in terram, & descendens usque ad Inferos, ut inde extraheret mortuum, ipse vinctus est in transcursibus non necessitatis vinculis, sed voluntariæ clementiæ benignitate, dicens Apostolis:* Et ecce vobiscum sum omnibus diebus usque ad consummationem seculi. *Psal. xcvi. 1.* *Matth. xxviii. 20.*

CCIV. QUAM SPECIOSA FACTA ES, ET SUAVIS.

SPECIOSA *enim revera* FACTA EST ET SUAVIS, *non divinitatis virtus; neque enim additionem, neque diminutionem admittit; sed caro quam assumsit: & perfectus homo, quem gestavit* (Verbum) *ille speciosus factus est, divinitatis pulchritudine configuratus, & suavis factus est, sedens in Regno Cælorum ad dexteram Patris.*

CCV. CARITAS IN DELICIIS TUIS; HÆC MAGNITUDO TUA SIMILIS FACTA EST PALMÆ: ET UBERA TUA BOTRIS.

CARITAS *enim revera* IN DELICIIS *eius*: DELICIÆ *vero non in hisce carnalibus lautitiis, sed in persuasione spei, ut ait David:* Delectare in Domino, & dabit tibi pe- *Psal. xxxvi. 4.*

γεθός σου ὡμοιώθη τῷ φοίνικι, quæ est lectio Cod. Alexandrini, & quam plerumque sequi Auctorem nostrum sæpe notavimus. Certe sic legisse videtur Vet. Interpres, qui vertit: *magnitudo tua similis est palmæ*: Et ita legendum esse, suadet ipsa hujus versiculi explanatio.

(4) Edit. Vat. *οἱ μασοί σου* cum articulo.

(5) Male oo. CC. *ἀποτεῦλαι*.

(6) Ἀλλ' ἢ. ita oo. CC. Lege ἀλλά.

σου τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου. τοῦτο τί ΜΕΓΕΘΟΣ ΩΜΟΙΩΘΗ ΤΩι ΦΟΙΝΙΚΙ κατὰ ποικίλον τρόπον. τὸ μέγεθος τῆς ἐκκλησίας, τουτέστιν ἡ τῶν δικαίων ἄθροισις ΩΜΟΙΩΘΗ ΤΩι ΦΟΙΝΙΚΙ κατὰ τὸ λέγοντα
Ψαλ. ϙβ΄. ιβ΄. προφήτην· δίκαιος ὡς φοῖνιξ ἀνθήσει. φοῖνιξ δὲ λευκοτάτην κέκτηται τὴν καρδίαν, ὡς ἐπὶ ἡ τῶν δικαίων γνώμη λευκάζει, οὐ περὶ τὰ γήϊνα βοσκομένη, ἀλλὰ ἄνω περὶ τὰ ἐπουράνια ὕψει τὴν καρδίαν ἀνατεπομένην. εἰ δὲ καὶ σκόλοπας ἔχει ὁ φοῖνιξ, καὶ τούτῳ ἀπεικάζεται δίκαιος. σκόλοπές εἰσι τῷ φοίνικι,
Ἐκκλησ. ιϐ΄. ια΄. ὡς καὶ τῷ δικαίῳ οἱ πρὸς τοὺς ἁμαρτωλοὺς ἔλεγχοι. λόγοι γὰρ σοφῶν ὡς τὰ βούκεντρα. καὶ ὡς ἧλοι πεπυρωμένοι (1), οἳ παρὰ τῶν συνθεμάτων ἐδόθησαν ἐκ ποιμένος ἑνός (2). ἀπὸ συνθεμάτων γὰρ τῶν δύο διαθηκῶν ἐκ ποιμένος ἑνὸς τοῦ Χριστοῦ, οὗτοι οἱ τῶν δικαίων ἔλεγχοι δίδονται, ἵνα πᾶς τις κεντούμενος κατανύττεται τὴν καρδίαν, καὶ ἀπέχοιτο πάσης ἁμαρτίας.

Κεφ. ζ΄. ζ΄. σϛ΄. ΚΑΙ ΟΙ ΜΑΣΤΟΙ ΣΟΥ ΤΟΙΣ ΒΟΤΡΥΣΙΝ.

Καθάπερ οἱ τῶν φοινίκων ΒΟΤΡΥΕΣ πληθύνουσι τῷ καρπῷ καὶ τῇ γλυκύτητι, οὕτως ταύτης οἱ δύο ΜΑΣΤΟΙ, τουτέστιν αἱ δύο διαθῆκαι, τὰς γλυκείας κομῶσιν ἀρετὰς τοῖς ἐν αὐταῖς γλυκαίνεσθαι (3) βουλομένοις.

Κεφ. ζ΄. η΄. σζ΄. ΕΙΠΑ, ΑΝΑΒΗΣΟΜΑΙ ΕΝ (4) ΤΩι ΦΟΙΝΙΚΙ, ΚΡΑΤΗΣΩ ΤΩΝ ΥΨΕΩΝ ΑΥΤΟΥ.

Τέρπεται ὁ ἐπουράνιος λόγος τῇ τοιαύτῃ τῶν δικαίων
Κολασ. β΄. ιε΄. καθαρότητι τῆς ψυχῆς· καὶ ἀπεκδυσάμενος τὰς (5) ἀρχὰς καὶ τὰς ἐξουσίας· καὶ μορφὴν δούλου λαβών, ΑΝΑΒΗΣΟΜΑΙ, λέγων, ΕΝ ΤΩι ΦΟΙΝΙΚΙ, ΚΑΙ ΚΡΑΤΗΣΩ ΤΩΝ ΥΨΕ-

(1) Vat. πεφυτευμένοι. C. Alex. πεπυρωμένοι παρὰ τῶν συνθεμάτων. Vetus Interp. *de notis unius pastoris*.

(2) Addidi ἑνὸς, quod habent sacrorum librorum exemplaria omnia Mss. & impressa. Eam vo-

petitiones cordis tui. *Hæc* MAGNITUDO SIMILIS FACTA EST PALMÆ *juxta varium modum. Magnitudo Ecclesiæ, hoc est justorum congregatio, similis facta est palmæ juxta Prophetam dicentem:* Justus ut palma florebit. *Pal-* *Psal. xci. 10.*
ma enim candidissimum cor habet, quemadmodum etiam justorum animus candidus est, qui non pascitur ex terrestribus, sed supra ad cælestes altitudines cor intendit. Si vero aculeos habet palma; etiam in hac re justus illi assimilatur. Sui sunt palmæ aculei, quemadmodum etiam justo suæ sunt increpationes in peccatores. Sermones enim sapien- *Eccli. xii. 11.*
tum ut stimuli boum, & tanquam clavi igniti, qui per signa dati sunt ab uno pastore. *Per signa enim, nimirum per duo Testamenta, ab uno Pastore Christo dantur hæ increpationes; ut omnis, qui ab iis stimulatur, corde compungatur, & a peccatis abstineat.*

CCVI. ET UBERA TUA BOTRIS.

Quemadmodum palmarum BOTRI *implentur fructu & dulcedine, sic duo hujus* UBERA, *hoc est, duo Testamenta dulces efferunt virtutes iis, qui eorum dulcedine frui velint.*

CCVII. DIXI: ASCENDAM IN PALMAM, ET TENEBO ALTITUDINES IPSIUS.

Delectatur cæleste Verbum tali justorum puritate animi. Et expolians principatus & Potestates, & formam *Coloss. ii. 15.*
servi accipiens, ASCENDAM, *inquit*, IN PALMAM, ET TE-

cem legit etiam Vet. Interpr. & habet Codex Mutinen.

(3) Cod. Mutin. γλύκεως. Legerem lubens γλυκασμίως.

(4) Ἐν τῷ. ita Cod. Alex. At Vat. edit. ἐπὶ τῷ.

(5) Pessime Vetus Interpres *& exuens se principiis, & potestatibus.*

ΥΨΕΩΝ ΑΥΤΟΥ. ἐὰν γὰρ κρατήσῃ τὰ τῶν δικαίων ὕψη, ἀπάλωτοι μένουσιν, ἀνέμων ἔμβολοι(1) φέροντες, τουτέστι τοὺς πειρασμούς, καὶ ὑπὸ τοῦ κρατοῦντος ἄθραυστοι διαμένοντες. ὅθεν καὶ σαφῶς ἐπάγει·

Κεφ. ζ΄. η΄.

ση΄. ΚΑΙ ΕΣΟΝΤΑΙ (2) ΜΑΣΤΟΙ ΣΟΥ ΩΣ ΒΟΤΡΥΕΣ ΤΗΣ ΑΜΠΕΛΟΥ.

Καθάπερ γὰρ οἱ ΒΟΤΡΥΕΣ τῶν ἀμπέλων ἀποπιεζόμενοι, καὶ ἐκθλιβόμενοι τὸ εὐφραντήριον ἐκβλυστάνουσι τοῦ οἴνου νᾶμα· οὕτω καὶ οἱ δίκαιοι ἐν ταῖς τῶν πειρασμῶν συνοχαῖς τε καὶ θλιμμοῖς, βοτρύων δίκην ἐκπιεζόμενοι, δι' αὐτῆς αὐτῶν νίκης τὴν εὐφροσύνην τῇ ἐκκλησίᾳ ποιοῦντες εὐωχεῖ (3).

Κεφ. ζ΄. η΄.

σθ΄. ΑΛΛΑ (4) ΚΑΙ ΟΣΜΗ ΡΙΝΩΝ ΣΟΥ ΩΣ ΜΗΛΑ.

Ὀσμὴν τῆς πίστεως οἶμαι λέγειν κατὰ τὸν λέγοντα ἀπόστολον· Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις· οἷς μὲν ὀσμὴ ἐκ (5) θανάτου εἰς θάνατον· οἷς δὲ ὀσμὴ ἐκ (6) ζωῆς εἰς ζωήν. διὰ τοῦτο καὶ ΟΣΜΗ ΡΙΝΩΝ ΣΟΥ ΩΣ ΜΗΛΑ. ἐάν τε γὰρ μυκτῆρα τὸν ἀπόστολον λέγει, ἐάν τε ῥῖνα τῆς ἐκκλησίας· ὅμως ἑκάτερα ἐν δυσὶ προσηγορίαις, τὸ ἕν ἐστιν εἶδος διὰ τῶν δύο ὀπῶν τὴν ζωοδοτῆρα (7) τοῦ ἁγίου πνεύματος, καὶ εἰσπέμπων ζωήν. ΩΣ ΜΗΛΑ δὲ αὐτὴ λέλεκται. τὰ γὰρ μῆλα ἐν ἑαυτοῖς δύο κέκτηνται· βρῶσιν καὶ πόσιν· ὡς καὶ ἡ τῆς πίστεως εὐωδία τὴν μυστικὴν βρῶσιν τε καὶ πόσιν κέκτηται τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ.

β΄. Κορ. β΄. ιε΄.

σι΄. ΚΑΙ

(1) Emendandum ex Mut.Cod. ἐμβολήν.

(2) Vat.ed. ἔσονται δὴ μαστοί σου.

(3) Sic habet uterque Codex, Barberinus, & Mutinensis, tum etiam meus. Locus est corruptus. Salutatus, & Vet. Interp. videtur legisse ποιοῦνται τὴν εὐκαταπηλήν.

TENEBO ALTITUDINES EJUS. *Nam cum tenuerit justorum altitudines, ab omni casu securi manent, sustinentes ventorum impetus, hoc est tentationes, & ab illo, qui eos tenet, invulnerati servantur. Unde clare subdit;*

CCVIII. ET ERUNT UBERA TUA UT BOTRI VINEÆ.

Quemadmodum enim BOTRI *vinearum pressi, & calcati lætificantem vini laticem effundunt; sic justi in tentationum angustiis & afflictionibus instar botrorum pressi, per ipsam sui victoriam Ecclesiæ spiritualem pariunt lætitiam.*

CCIX. ODOR NARIUM TUARUM SICUT MALA.

Odorem fidei puto dicere, juxta Apostolum, qui dicit: Christi bonus odor sumus in iis, qui salvi fiunt, & in iis, qui pereunt; aliis quidem odor mortis in mortem, aliis autem odor vitæ in vitam. *Propterea &* ODOR NARIUM TUARUM SICUT MALA: *interdum enim Apostolum nasum appellat, aliquando narem Ecclesiæ: tamen in duplici appellatione utrumque forma est una, per duo foramina vivificantem Sancti Spiritus vitam immittens. Ait vero:* SICUT MALA. *Mala enim in se ipsis duo habent; cibum & potum; ita bonus fidei odor mysticum habet cibum & potum Corporis & Sanguinis Christi.* II. Cor. II. 16.

CCX. ET

(4) Vat. edit. non habet ἀλλὰ, neque exhibent alii sive Mss. sive impressi; nec eam vocem agnoscit Vetus Interpres.

(5) ἐκ abest ab impressis.

(6) ἐκ itidem non apparet in impressis.

(7) Lego ζωοδότειραν τοῦ ἁγίου πνεύματος εἰσπέμπον ζωήν.

Κεφ. ζ'. θ'. σι'. ΚΑΙ Ο ΛΑΡΥΓΞ ΣΟΥ ΩΣ ΟΙΝΟΣ ΑΓΑΘΟΣ (1) ΠΟΡΕΥΟΜΕΝΟΣ ΤΩι ΑΔΕΛΦΙΔΩι ΜΟΥ ΕΙΣ ΕΥΘΥΤΗΤΑ, ΙΚΑΝΟΥΜΕΝΟΣ ΧΕΙΛΕΣΙ ΜΟΥ ΚΑΙ ΟΔΟΥΣΙΝ.

Οὕτως ὁ λάρυγξ τοῦ κυρίου ὡς οἶνος ἀγαθός. ὁ γὰρ τοῦ
Ἰωβ. ιβ'. ια'. κυρίου λάρυγξ τῆς ἐκκλησίας ἐστί. νοῦς (2) μὲν γάρ φησι, ῥήματα διακρίνει. λάρυγξ δὲ σῖτα γεύεται. τούτων οὖν τῶν πνευματικῶν σιτίων τοῦτε σώματος καὶ αἵματος Χριστοῦ γευσαμένη ἡ ἐκκλησία τὸν ΛΑΡΥΓΓΑ ἔχει ΩΣ ΟΙΝΟΝ ΑΓΑΘΟΝ. οἶνος γὰρ πινόμενος παύει λύπας, καὶ μεταβάλλει τὴν καρδίαν εἰς χαράν. ὡς καὶ τὸ πανσίλυπον τοῦτο τῆς ζωῆς ὄνομα (3) εἰς ἄφεσιν διδόμενον ἁμαρτημάτων. παύει ἡμῶν τὴν περὶ τούτων ἀχθηδόνα, Χριστοῦ λέγοντος· λάβετε, πίετε· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. θαυμασίως δὲ λέγει, ΠΟΡΕΥΟΜΕΝΟΣ ΕΝ ΕΥΘΥΤΗΤΙ ΤΩι ΑΔΕΛΦΙΔΩι ΜΟΥ. εὐθέσι γὰρ
α'. Κορ. ια'. κη'. τοῦτο δίδοται τὸ πόμα κατὰ τὸν λέγοντα Ἀπόστολον· δοκιμαζέτω δὲ αὐτὸν ἄνθρωπος, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πιέτω· δηλαδὴ συμφέρουσαν (4) τοῖς μυστηρίοις εὐθύτητα κεκτημένος. σαφὲς δὲ καὶ τὸ ΙΚΑΝΟΥΜΕΝΟΝ ΧΕΙΛΕΣΙ ΚΑΙ ΟΔΟΥΣΙΝ, ἵνα τὸ βραχὺ δείξῃ, καὶ τὸ μόνον τὰ χείλη βάψαι αὐτῷ καὶ τοὺς ὀδόντας ὅτι ἐν βραχεῖ ἱκανὸν πρὸς τὴν ἐντελῆ σωτηρίαν τὸ διδόμενον.

Κεφ. ζ'. ι'. σια'. ΕΓΩ ΕΝ (5) ΤΩι ΑΔΕΛΦΙΔΩι ΜΟΥ, ΚΑΙ ΕΠ ΕΜΕ Η ΕΠΙΣΤΡΟΦΗ ΑΥΤΟΥ.

Ψαλ. ογ'. κη'. Ἐμοί φησι τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι· τίθε-

σθαι

(1) Οἶνος ἀγαθὸς sic Cod. Alex. Sed Vatic. οἶνος ὁ ἀγαθός.

(2) Sic Cod. Alexandrinus, cujus lectionem sæpius sequitur Philo, ut alibi observavimus. Biblia typis edita habet ὡς. Et D. Chrysostomus, ut observat L. Bos in sua edit. τῶν ο', ait: τινὰ τῶν

CCX. ET FAUCES TUÆ UT BONUM VINUM VADENS FRATRUELI MEO IN DIRECTIONEM, SUFFICIENS LABIIS MEIS ET DENTIBUS.

Revera fauces Domini sunt ut bonum vinum. Fauces enim Domini fauces sunt Ecclesiæ, Mens enim, *ait Scriptura*, verba discernit; *fauces autem cibos gustant*. *Job. XII. 11.* *Hos igitur spirituales cibos Corporis & Sanguinis Christi degustans Ecclesia*, FAUCES *habet*. UT BONUM VINUM. *Nam vinum cum bibitur, dolores sedat, & cor in lætitiam vertit; ita hoc vitæ poculum, datum in remissionem peccatorum, nostrum ex iis dolorem sedat, dicente Christo: Accipite, bibite: hic est Sanguis meus, qui pro vobis effundetur in remissionem peccatorum. Mirabiliter vero dicit*: VADENS IN DIRECTIONE FRATRUELI MEO. *Rectis enim potus hic datur juxta Apostolum, qui ait*: Probet *1. Cor. XI. 28.* autem se ipsum homo, & sic de pane illo edat, & de calice bibat; *is nimirum qui præditus est rectitudine, quæ in sacris mysteriis convenit. Manifestum est etiam quod ait*: SUFFICIENS LABIIS ET DENTIBUS; *ut breviter ostendat, vel tantummodo ex eo labia tinxisse ac dentes, illico quod datur satis esse ad perfectam salutem*.

CCXI. EGO FRATRUELI MEO, ET IN ME CONVERSIO EJUS.

Mihi, *ait Scriptura*, adhærere Deo bonum est, *Psal. LXXII. 28.*

Z po-

ἀντιγράφων ἀντὶ τοῦ ὡς, νοῦς ἔχουσι. Locum D. Chrysostomi non indicat Bos. Invenias in Catena PP. Græcorum in Job edita a Patricio Junio Londini 1637. p. 152.

(3) Lege πόμα.

(4) Sic oo. CC. Lege συμπρέπουσαν.

(5) ἐν abest ab omnibus SS. Bibliorum editionibus & Mss. Abest etiam a Cod. Mutin.

Ψαλ. ξγ'. η'. θαι ἐν τῷ κυρίῳ τὴν ἐλπίδα μου, καὶ πάλιν· ἐκολλήθη (1) ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου· ΕΓΩ ΤΩι ΑΔΕΛΦΙΔΩι ΜΟΥ, ΚΑΙ ΕΠ ΕΜΕ Η ΕΠΙΣΤΡΟΦΗ (2) ΑΥΤΟΥ. ὅπερ ἐστίν· ἐγὼ λατρεύσω νῦν τῷ Υἱῷ τοῦ Θεοῦ, καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ· τουτέστιν ἐν τῇ δευτέρᾳ πάλιν παρουσίᾳ, ὅταν ἐπιστρέφῃ ἐπ' ἐμέ, ἐλεύσεται συνάγων με ἐκ τῶν τεσσάρων γωνιῶν τῆς γῆς διὰ τῶν τοῦ φωτὸς ἀγγέλων.

Κεφ. ζ'. ια'. σιβ'. ΕΛΘΕ ΑΔΕΛΦΙΔΕ ΜΟΥ, ΕΞΕΛΘΩΜΕΝ ΕΙΣ ΑΓΡΟΝ, ΑΥΛΙΣΘΩΜΕΝ ΕΝ ΚΩΜΑΙΣ, ΟΡΘΡΙΣΩΜΕΝ ΕΙΣ ΑΜΠΕΛΩΝΑΣ (3).

Συγκαλεῖται ἡ νύμφη τὸν νυμφίον ἀπ' ἐντεῦθεν ἤδη, ἵνα σὺν αὐτῷ ΕΞΕΛΘΗ ΕΙΣ ΑΓΡΟΝ, τουτέστιν εἰς τὸν κό-
Ματθ. ιγ'. λη'. σμον ὥς φησιν ὁ κύριος· ὁ ἀγρός ἐστιν ὁ κόσμος· καὶ ΑΥΛΙΣΘΩΜΕΝ ΕΝ ΚΩΜΑΙΣ· καὶ πανταχοῦ παροικίαι (4) γεγένηνται τῆς ἁγίας ἐκκλησίας πλατυνομένης ἀεὶ κατὰ τὸν λέ-
Ἠσαΐ. νδ'. β'. γοντα αὐτῇ προφήτην· πλάτυνον (5) τὰ σχοινίσματά σου, καὶ τῶν αὐλαιῶν σου πῆξον· μὴ φοβοῦ· καὶ τοὺς πασσάλους σου κατίσχυσον· ἔτι εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον. ὡς ταῦτα λέγεται τῇ ἐκκλησίᾳ δῆλον. διὸ λέγει· ΑΥΛΙΣΘΩΜΕΝ ΕΝ ΚΩΜΑΙΣ, ΟΡΘΡΙΣΩΜΕΝ ΕΙΣ ΑΜΠΕΛΩΝΑΣ· ὅπερ ἐστὶν εἰς τὰς κατὰ τόπον ἐκκλησίας. τότε γὰρ ΟΡΘΡΙΣΩΜΕΝ, τοῦτον ἔχει τὸν τρόπον· ἀπὸ τοῦ νυκτέρου σκότους τῆς ἀγνωσίας εἰς τὸ φῶς τῆς πίστεώς με προάγαγε.

σιγ'. ΙΔΩ

(1) Abest a meo Cod. & Barb. hic e Psalmo locus, quem cum exhibeat & Vet. Interpres, & habeat Codex Mutin. revocavi.

(2) Restitui ex Mutinensi ἐπιστροφή. Meus & Barb. ἀποστροφή.

(3) Restitui ἀμπελῶνας ut Vatic. & libri omnes. Hanc lectionem agnoscit Vetus Interpres, & ipsa explanatio postulat, ubi dicit ὅπερ ἐστὶν εἰς τὰς κατὰ τόπον ἐκκλησίας.

ponere in Domino spem meam. *Et rursus*: adhæsit anima nostra post te; me suscepit dextera tua. EGO FRATRUELI MEO, ET IN ME CONVERSIO EJUS; *idest, ego serviam nunc Filio Dei, & ad me conversio ejus; hoc est in secundo iterum adventu cum sese converterit ad me, veniet colligens me ex quatuor angulis terræ per Angelos lucis.* *Psal. LXII. 9.*

CCXII. VENI FRATRUELIS MEUS, EGREDIAMUR IN AGRUM, MANEAMUS IN VICIS, DE LUCE VIGILEMUS AD VINEAS.

Sponsa jam inde vocat Sponsum, ut cum ipso EGREDIATUR IN AGRUM, *hoc est, in mundum, quemadmodum ait Dominus*: Ager est mundus: *&* MANEAMUS IN VICIS. *Matth. XIII. 38.* *Etenim ubique facta sunt habitationes Sanctæ Ecclesiæ, quæ semper dilatatur, juxta Prophetam, qui illi ait*: Dilata funiculos tuos, & mansionum tuarum: fige: noli timere: & palos tuos conforta: adhuc ad dexteram, & ad sinistram extende: *Isai. LIV. 2.* *Isthæc dici Ecclesiæ manifestum est: Idcirco ait*: MANEAMUS IN VICIS: VIGILEMUS DILUCULO AD VINEAS: *idest ad Ecclesias, quæ per loca sunt: illa enim vox* VIGILABIMUS, *hunc tropologicum sensum habet; nimirum, producito me a nocturnis ignorantiæ tenebris ad lucem fidei.*

(4) Sic legendum oo. Cod. habent παρέρμην.

(5) Locus Isaiæ in Sacris Bibliis est: πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ τῶν αὐλαιῶν σου, πῆξον, μὴ φείσῃ, μάκρυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους σου κατίσχυσον· ἔτι κ. τ. λ. *Dilata locum tabernaculi tui, & aulæorum tuorum: fige: ne parcas: protende funiculos tuos: & palos tuos conforta, &c.*

Κεφ. ζ'. ιβ'. σιγ'. ΙΔΩΜΕΝ ΕΙ ΗΝΘΗΣΕΝ Η ΑΜΠΕΛΟΣ.

Ὅπερ ἐστὶ, εἰ τὸ κήρυγμα τῆς πίστεως τὴν εὐωδίαν ἐν τοῖς πιστευσάντων διέδωκεν.

Κεφ. ζ'. ιβ'. σιδ'. ΗΝΘΗΣΕΝ Ο ΚΥΠΡΙΣΜΟΣ.

Τοὺς νεοφωτίστους οἶμαι λέγειν τοὺς διὰ λουτροῦ παλιγγενεσίας λελευκανθισμένους.

Κεφ. ζ'. ιβ'. σιε'. ΗΝΘΗΣΑΝ ΑΙ ΡΟΑΙ.

Αἱ τούτων ψυχαὶ, αἵτινες ῥοῶν δίκην τὸ ἐρυθρὸν αἷμα ἐχρίσθησαν τοῦ Χριστοῦ. καθάπερ γὰρ ἡ ῥοὰ πολυκοκκός ἐστι, καὶ πολυθάλαμος, ἔξωθεν δὲ τὸ φλοιὸν ἐρυθροειδῆ κέκτηται· οὕτως ἡ ἐκκλησία τὸν πολυάνθρωπον δῆμον ἔχουσα ἐντὸς, καὶ τοῖς ἱματίοις τῶν ἐντολῶν περιεσφιγμένη, τῷ αἵματι τοῦ Χριστοῦ φυλάττεται. διὸ καὶ ἐπάγει·

Κεφ. ζ'. ιβ'. σις'. ΕΚΕΙ ΔΩΣΩ ΤΟΥΣ ΜΑΣΤΟΥΣ ΜΟΥ ΣΟΙ.

Τοῖς γὰρ τοιούτοις καὶ τὰ βάθη τῶν μυστηρίων ἐκ τῶν πνευματικῶν μαστῶν, τουτέστιν ἐκ τῶν δύο διαθηκῶν ἀποκαλύπτεται.

Κεφ. ζ'. ιγ'. σιζ'. ΑΙ ΜΑΝΔΡΑΓΟΡΑΙ (1) ΕΔΩΚΑΝ ΟΣΜΗΝ.

Γεν. λ'. ιη'. Γεν. μθ'. ιδ'. Μανδραγορῶν μισθὸς γεγένηται (2) ὁ Ἰσάχαρ. Ἰσάχαρ δὲ, φησὶν, τὸ καλὸν ἐπιθύμησιν ἐν (3) ταῖς εὐλογίαις Ἰακὼβ γέγραπται. οἱ γοῦν τὸ καλὸν ἐπιθυμήσαντες τῆς ἐκκλησίας υἱοὶ, οὗτοι ἐπιδώκασιν ὀσμὴν, ὅπερ ἐστὶ τὴν τῆς πίστεως εὐωδίαν. καὶ καθ' ἕτερον τρόπον· ΑΙ ΜΑΝΔΡΑΓΟΡΑΙ ΕΔΩΚΑΝ ΟΣΜΗΝ. μανδραγορῶν γὰρ αἱ ῥίζαι ὑπὸ τὴν γῆν αν-

(1) Ed. Vat. οἱ μανδραγόραι. (2) Vetus Interpres feminam.

CCXIII. VIDEAMUS, DUM FLORUIT VINEA.

Ideſt, num prædicatio fidei ſuavem ab iis, qui crediderunt, emiſit odorem.

CCXIV. FLORUIT PROPAGO.

Recens illuſtratos dicere arbitror, qui per lavacrum regenerationis facti ſunt candidi,

CCXV. FLORUERUN MALA PUNICA.

Eorum animæ, quæ malorum inſtar punicorum rubro Chriſti Sanguine illitæ ſunt. Ut enim malum punicum multis eſt præditum granis, & loculamentis; extrinſecus autem corticem rubrum habet; ita Eccleſia; quæ populoſiſſimam hominum multitudinem intra ſe continet, & veſtibus præceptorum circumtecta; ſe tuetur Sanguine Chriſti. Propterea ſubdit:

CCXVI. IBI DABO UBERA MEA TIBI.

Talibus enim (ideſt, nuper baptizatis) *myſteriorum profunditas ex ſpiritualibus uberibus, ideſt, ex duobus teſtamentis revelatur.*

CCXVII. MANDAGORÆ DEDERUNT ODOREM.

Mandragorarum merces factus eſt Iſſachar. Iſſachar vero, *ait Scriptura*, bonum concupivit, *ut ſcriptum eſt in benedictionibus Jacob. Qui igitur bonum deſiderant Eccleſiæ filii, hi dederunt odorem, hoc eſt, ſuavem fidei odorem. Et alio modo:* MANDRAGORÆ DEDERUNT ODOREM. *Mandragorarum enim radices*

Geneſ. xxx. 18.
Ibid. xlix. 14.

facit Iſſachar, cum vertit, *facta eſt*. (3) Lego ὡς ἐν.

ἀνθρωπόμορφον ἔχουσι (1) χαρακτῆρα, τὴν τῶν νεκρῶν εἰκόνα ἐφ' ἑαυτῶν ἔχονται· οἱ γὰρ νεκροὶ τῆς τοῦ Χριστοῦ παρουσίας εἰς τὸν ᾅδην αἰσθόμενοι τὴν τῆς ἀναστάσεως δεδώκασιν (2) ὀσμήν:

Κεφ. ζ'. ιγ'. σιη'. ΚΑΙ (3) ΕΠΙ ΘΥΡΑΙΣ ΗΜΩΝ ΠΑΝΤΑ ΤΑ ΑΚΡΟΔΡΥΑ.

ΘΥΡΑΙΣ (4) οἶμαι τῆς ψυχῆς καὶ τοῦ ἀνθρωπείου (5) σκήνους τὰ ὦτα καὶ τὰ στόματα καὶ τοὺς ὀφθαλμοὺς εἶναι· δι' ὧν θυρῶν τά τε τῆς ζωῆς εἰσίεσαν, καὶ τὰ τοῦ θανάτου ἕκαστα κατὰ τὴν γνώμην τοῦ δεξαμένου (6). ΕΠΙ ΔΕ ΘΥΡΑΙΣ ΗΜΩΝ ΠΑΝΤΑ ΑΚΡΟΔΡΥΑ. ἐπὶ τοὺς ὀφθαλμοὺς αἱ τοῦ σεμνοτάτου ἐντολαί· ἐπὶ τὰ ὦτα αἱ τῶν θεϊκῶν προσταγμάτων διαταγαί (7). ἐπὶ τὸ στόμα αἱ ὑμνῳδίαι καὶ αἱ ψαλμῳδίαι καὶ τῆς καινῆς διαθήκης, καὶ παλαιᾶς ἡ μελέτη. θύρας δὲ τὰ προειρημένα εὐλόγως ἡ ἁγία γραφὴ κέκληκε· τὰ δὲ ἕκαστα ἡμῶν, θυρῶν δίκην, τῇ ἁμαρτίᾳ ἀποκλείεσθαι ὀφείλειν (8) τὰ μέλη. ὀφθαλμὸς μὲν τοῖς βλεφάροις ἀποστρεφόμενος ἀπὸ ἐπιθυμίας, καὶ τὸ στόμα κατὰ τὸ μὴ φθέγγεσθαι τί ἄτοπον κατὰ τὸν λέγοντα
Ἐφεσ. δ'. κθ'. ἀπόστολον· πᾶς λόγος σαπρὸς μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν. διὸ καὶ αὐτικῶς (9) φιερόμενος ὁ μακάριος Δαβὶδ
Ψαλ. ρμα'. γ'. λέγει· θοῦ κύριε φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Κεφ. ζ'. ιγ'. σιθ'. ΝΕΑ ΠΡΟΣ ΠΑΛΑΙΑ ΑΔΕΛΦΙΔΕ ΜΟΥ ΕΤΗΡΗΣΑ ΣΟΙ.

Τὴν νέαν οἶμαι λέγειν διαθήκην (10) καὶ τὴν παλαιάν; ἐξ ἧς (11) τὰ δικαιώματα, καὶ προστάγματα ἡ ἐκκλησία λαβοῦσα

τῷ

(1) Lege ἔχουσαι.

(2) Mutin. [illegible].

(3) Vet. Interpr. vertit: *Januas nostras omnia poma*; cui versioni nullam, quæ respondeat, invenio variantem lectionem.

(4) Lege θύρας.

(5) Mutin. ἀνθρωπίνου σκεύους καὶ τὰ ὦτα.

(6) Mutin. δεχομένου.

(7) Vet. Interpr. vertit *divino-*

dices sub terrâ humana forma prædita, mortuorum figuram in se habent. Mortui enim sentientes Christi adventum ad Inferos, resurrectionis odorem dederunt.

CCXVIII. ET IN OSTIIS NOSTRIS OMNIA POMA.

Ostia animæ & humani tabernaculi esse arbitror aures, & ora, & oculos; per quæ ostia & quæ sunt vitæ, & quæ mortis ingrediuntur, ut cujusque est animus, qui ea excipit. In ostiis nostris omnia poma: *in oculis nostris præcepta de pudore: in auribus divinorum mandatorum præceptiones: in ore hymnorum, psalmorumque cantus, & novi veterisque Testamenti meditatio. Ea vero, quæ diximus, jure ostia sacra Scriptura appellat. Omnia autem membra veluti ostia nostra claudi oportet peccato: oculus qui palpebris a concupiscentia se avertat: os ne quid loquatur absurdum, juxta Apostolum:* Omnis sermo impurus ne procedat ex ore vestro: *propterea precantis in modum Beatus David se se gerens ait:* Pone Domine custodiam ori meo, & ostium circumstantiæ circa labia mea. *Ephes. IV. 29.* *Psal. CXL. 3.*

CCXIX. NOVA ET VETERA FRATRUELIS MEUS SERVAVI TIBI.

Novum puto dicere Testamentum & Vetus, ex quibus Ecclesia accepit justificationes & præcepta, eaque Sponso

rum præceptorum ordines. θεϊκῶν ωρος. διαταγαὶ reddi debuerat, *divinorum mandatorum præceptiones*, ἀχλικῶς.

(8) Lege ὀφείλει.

(9) Sic omnes Codices, Lege

(10) Διαθήκην restitui ex Cod. Mutin.

(11) Lego ἐξ ὧν.

τῷ ἰδίῳ αὐτὰ τηρεῖν (1) νυμφίῳ· ἀπὸ μὲν τοῦ νόμου ἀκούουσα·
Εξοδ. κ'. ιγ'. τὸ οὐ μοιχεύσεις. καὶ ἀπὸ τῆς νέας ἐκ τῆς τῶν εὐαγγελίων
διαθήκης ἀκούουσα, καὶ τὴν ἐπιθυμίαν ἐκκόπτειν (2), καὶ ταῦτα
ποιουμένη ἀπὸ τοῦ νόμου ἀκούουσα τὸ οὐκ ἐπιορκήσεις. καὶ ἀπὸ
Ματθ. ε'. λδ'. τῶν εὐαγγελίων ἀκούουσα τὸ, μὴ ὀμόσαι ὅλως· καὶ ταῦτα πεφυ-
λαγμένη τῷ ἀδελφιδῷ αὐτῆς, ταῦτα τηρεῖ, ὅπερ ἐστὶ τῷ ἰδίῳ
νυμφίῳ, ἵνα διὰ τῆς ποιήσεως τῶν ἐντολῶν (3) τὸ ἔλαιον ἐν
Ματθ. κε'. τοῖς ἰδίοις ἀγγείοις ἐν τῷδε ἀγοράζουσα τῷ βίῳ, τὴν λαμ-
πάδα ἁψαμένη τὴν τῆς πίστεως, τῷ νυμφίῳ παραφαίνει. διὰ
τοῦτο καὶ ὁ κύριος περὶ τῶν τὰ νομικὰ καὶ εὐαγγελικὰ προστάγ-
ματα τοῦ κυρίου, τήν τε παλαιὰν καὶ τὴν νέαν διαθήκην μελε-
Ματθ. ιγ'. νβ'. τόντων καὶ διηγουμένων ἐν τοῖς εὐαγγελίοις τάδε λέγει· διὰ τοῦ-
το πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν
ὅμοιός ἐστιν ἀνθρώπῳ προφέροντι ἐκ τοῦ θησαυροῦ αὐτοῦ και-
νὰ καὶ παλαιά· ΚΑΙΝΑ μὲν τὰ ἐν εὐαγγελίῳ προστάγματα·
ΠΑΛΑΙΑ δὲ τὰ ἐν νόμῳ διατάγματα.

Κεφ. η'. α'. σκ'. ΤΙΣ ΔΩΗ, ΣΕ ΑΔΕΑΦΙΔΕ ΜΟΥ ΘΗΛΑ-
ΖΟΝΤΑ ΜΑΣΤΟΥΣ ΜΗΤΡΟΣ ΜΟΥ;

Μεγάλα καὶ θαυμαστὰ μυστήρια, τὰ ἐν τῇ ἁγίᾳ ταύτῃ ἀποκείμενα γραφῇ. οὐ γὰρ εἶπε θηλάζοντα (4) μαστοὺς μου, ἀλλὰ μητρός μου. πῶς γὰρ οἷόν τ' ἐστὶ τὸν ἀδελφιδὸν αὐτῆς ἀνδρωθέντα (5) λοιπὸν καὶ τελειωθέντα θηλάζειν πάλιν μαστοὺς μητρός; τὸ γὰρ θηλάζειν (6) οὐ τῶν τελείων, ἀλλὰ τῶν βρεφῶν. λέγει οὖν ἡ νύμφη πρὸς τὸν νυμφίον· ΤΙΣ ΔΩΗ, ΣΕ ΑΔΕΛΦΙΔΕ ΜΟΥ ΘΗΛΑΖΟΝΤΑ ΜΑΣΤΟΥΣ ΜΗΤΡΟΣ ΜΟΥ. μήτηρ τῆς νύμφης ἡ σοφία, ἀδελφιδὸς δὲ ταύτης ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐν ᾧ ἐφόρεσεν ἄνθρωπον (7), ὃν

(1) Legendum τηρεῖν.
(2) Alludit ad locum Matth. v. 30.
(3) Sic Mutinensis: at meus & Barber. τῆς ἐντολῆς.
(4) Barber. θηλάζων. Mutin. θηλάζοντα.
(5) Ἀνδρωθέντα. Ita Mutin. ἀνδρειωθέντα Barberin. & meus;

so suo servat; & a Lege quidem audit: non mœchaberis: *a novo Evangeliorum Testamento audit rescindendam esse concupiscentiam; & hæc faciens audit a Lege*: non pejerabis; *& ab Evangeliis*: non jurare omnino; *& hæc custodiens fratrueli suo eadem servat, idest, suo Sponso, ut per exequutionem mandatorum oleam vasis suis emens in hac vita, lampade fidei accensa Sponso in conspectum venit. Propterea Dominus de iis, qui legalia, & Evangelica præcepta Domini, & Vetus Novumque Testamentum meditantur, & enarrant, dicit in Evangelio*: Ideo omnis Scriba doctus in regno cælorum similis est homini, qui profert de thesauro suo nova & vetera. NOVA *quidem, quæ sunt præcepta in Evangelio*; VETERA, *quæ sunt mandata in Lege*.

Exod. xx. 13.
Matth. v. 34.
Matth. xxv.
Matth. xiii. 52.

CCXX. QUIS DABIT TE FRATRUELIS MEUS SUGENTEM UBERA MATRIS MEÆ?

Magna & mirabilia mysteria, quæ reposita sunt in hac sancta Scriptura: non enim dicit sugentem ubera mea, sed matris meæ. Quomodo vero fieri potest, ut fratruelis ejus, qui jam in virum tandem adoleverit, & ad perfectam venerit ætatem, rursus sugat ubera matris? Sugere enim non est adultorum, sed infantium: ait igitur Sponsa ad Sponsum: QUIS DET TE FRATRUELIS MEUS SUGENTEM UBERA MATRIS MEÆ? *Mater est Sapientia, fratruelis vero ejus Dominus noster Jesus Christus, in quo*

 gesta-

male uterque. Recta lectio est ἀνδρειωθέντα, & melior fortasse ἀνδρωθέντα.

(6) Mutin. θηλάζειν. πάλιν ἐν τῷ τιλ.

(7) Lege ἄνθρωπον.

ὃν ἐπὶ παροῦσα ἡ σοφία, τουτέστιν ὁ πρὸ αἰώνων λόγος ἐν αὐτῷ συνεκεράσατο (1). ὅταν οὖν εἰς τοὺς νεοφωτίστους μορφωθεὶς (2) ὁ Χριστὸς, καὶ εἰς τὰ ἀρτιγενῆ βρέφη τῆς ἐκκλησίας, δι᾽ ἐκείνων αὐτὸς ὁ Χριστὸς θηλάζει τοὺς μαστοὺς, τουτέστι τὰς δύο διαθήκας, ἀφ᾽ ὧν τὸ μέλι ἐπὶ τὸ γάλα ῥεῖ τοῖς ἀρτιγεννήτοις παιδίοις τοῖς δι᾽ ὕδατος καὶ πνεύματος ἀναγεννωμένοις, ἐπὶ τὴν ἀκακίαν ἀπὸ τῆς παλαιᾶς, καὶ ἀπὸ τῆς καινῆς θηλάζουσι·
Ζαχ. η΄. ιζ΄. Ζαχαρίου μὲν λέγοντος· ἕκαστος τὴν κακίαν τοῦ πλησίον (3)
μὴ λογιζέσθω (4) ἐν ταῖς καρδίαις ὑμῶν. καὶ πάλιν Ἠσαΐου
Ἠσαΐ. ξϛ΄. ε΄. βοῶντος· εἴπατε (5) τοῖς μισοῦσιν ὑμᾶς· ἀδελφοὶ ἡμῶν· καὶ
τοῖς βδελυσσομένοις. καὶ πάλιν ἀπὸ τῶν εὐαγγελίων θηλάζουσιν
ἀπὸ τοῦ μαστοῦ τῆς καινῆς διαθήκης ἐκεῖνο τὸ τῆς ἀκακίας ῥῆ-
Λουκ. ϛ΄. κζ΄. μα· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν
ὑμᾶς. καὶ εὔχεσθε ὑπὲρ τῶν καταδιωκόντων ὑμᾶς. ἀπὸ δὲ Παύ-
Ῥωμ. ιβ΄. ιζ΄. λου τοῦ ἀποστόλου τὸ λεγόμενον· μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀπο-
διδόντες, ἀλλὰ πάντοτε τὸ ἀγαθόν.

Κεφ. η΄. α΄.

σκα΄. ΕΥΡΟΥΣΑ ΣΕ ΕΞΩ ΦΙΛΗΣΩ ΣΕ, ΚΑΙ ΓΕ ΟΥΚ ΕΞΟΥΔΕΝΩΣΟΥΣΙ ΜΕ (6).

Ἔξω τῆς Ἱερουσαλὴμ ἐσταύρωσαν τὸν Χριστὸν· διὰ τοῦ Σταυροῦ ἐφίλησεν αὐτὸν ἡ ἐκκλησία, ὑπὲρ αὐτῆς βλέπουσα αὐτὸν τῷ σταυρῷ ἀπολλύμενον (7), ἵνα ἐκείνη τῆς ἁμαρτίας ἀφυλαθῇ (8). ΕΥΡΟΥΣΑ ΣΕ ΕΞΩ ΦΙΛΗΣΩ ΣΕ. ΚΑΙ-
Κολασ. β΄. ιε΄. ΓΕ ΟΥΚ ΕΞΟΥΔΕΝΩΣΟΥΣΙ ΜΕ. εὑροῦσα γὰρ αὐτὸν
ἔξω τῶν οὐρανῶν, ὡς εἶπεν ὁ ἀπόστολος· ἀπεκδῦσα (9) μὲν
Κολοσ. β΄. ζ΄. τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ μορφὴν δούλου λαβόντα διαῤῥή-
του

(1) Ita Mutinen. Meus & Barb. συνεκέρατο.

(2) Lege μορφωθῇ. Paulina phrasis, ut alibi supra observavimus.

(3) Vat. πλησίον αὐτοῦ.

(4) Vatican. λογίζεσθε: & sic legendum. Vetus Interpres legit λογιζέσθω *reputet*; sed vertit ἐν ταῖς καρδίαις ὑμῶν, *in cordibus suis*.

(5) Perturbate affertur hic Isa-

gestavit hominem, quem Sapientia ad nos delapsa, hoc est Verbum, quod est ante secula, cum se ipso commiscuit. Cum igitur Christus in recens illuminatis formatus sit, & in nuper natis infantibus Ecclesiæ; per illos ipse Christus sugit ubera, hoc est duo Testamenta, ex quibus mel & lac fluunt ipsis nuper genitis filiis, qui per aquam & Spiritum regenerati sunt, & innocentiam e Veteri & Novo Testamento sugunt; Zacharia dicente: unusquisque malitiam proximi non cogitet in cordibus vestris. *Et rursus clamante Isaia*: Dicite, Fratres nostri, iis, qui oderunt vos, & abominantur. *Et rursus ex Evangelio sugunt ab ubere Novi Testamenti illud innocentiæ verbum*: Diligite inimicos vestros, benefacire iis, qui oderunt vos, & orate pro persequentibus vos; *ex Divo Paulo dictum illud*: Nulli malum pro malo reddentes, sed semper bonum.

Zach. VIII. 17.
Isai. LXVI. 5.
Luc. VI. 27.
Rom. XII. 17.

CCXXI. INVENIENS TE FORIS OSCULABOR TE, ET QUIDEM NON DESPICIENT ME.

